[2] Τὸ μαρτύριον αὐτῆς ὅρα εἰς τὸ νέον Μαρτυρολόγιον, τὴν δὲ ἁσματικὴν ἀκολουθίαν συνέθετο ὁ σοφολογιώτατος διδάσκαλος κὺρ Χριστοφόρος ὁ Προδρομίτης.

[3] Σημείωσαι, ὅτι καὶ ὅταν δὲν εἶναι Βίσεκτος· ἤγουν καὶ ὅταν ὁ Φεβρουάριος ἔχῃ μόνον ἡμέρας εἰκοσιοκτὼ, καὶ τότε, λέγω, ἀναγινώσκεται τὸ Συναξάριον τοῦτο τοῦ ἁγίου Κασσιανοῦ.

Digitized by Google

σπουδὴν θερμοτάτην καὶ ἐπιμέλειαν. Ἔπειτα ἐπεδόθη εἰς τὰ ἱερὰ καὶ θεῖα μαθήματα τῆς Παλαιᾶς καὶ Νέας Γραφῆς· ὅθεν ἔφθασεν εἰς τὸ ἄκρον τῆς θείας γνώσεως, καὶ ἐστόλισε τὴν ζωήν του μὲ ἁγνείαν καὶ καθαρότητα. Ἀναχωρήσας δὲ ἀπὸ τὴν πατρίδα του, καὶ ἀφήσας γένος καὶ στρατείαν (διότι ἦτο πρότερον συγκατηριθμημένος εἰς τοὺς στρατιωτικοὺς καταλόγους) καὶ πᾶσαν περιφάνειαν τῆς ζωῆς ταύτης, ἐσήκωσε τὸν σταυρὸν εἰς τοὺς ὤμους του καὶ ἠκολούθησε τῷ Χριστῷ· ἐμβὰς δηλαδὴ εἰς ἓν μοναστήριον, ἔγεινε μοναχός, καὶ ἐδόθη εἰς πᾶσαν ὑπακοὴν καὶ σκληραγωγίαν τοῦ σώματος, καὶ ἐπρόσεχε πάντοτε εἰς τὸν Θεὸν διὰ τῆς προσευχῆς. Ὅθεν ἐκ τῆς ἄκρας ὑπακοῆς καὶ ταπεινώσεως, ἔφθασε καὶ εἰς τὸ ἄκρον τῆς διακρίσεως, καὶ οὕτως ὑπῆγεν εἰς τὴν ἡσυχίαν.

Ἔπειτα μεταβαίνει εἰς διαφόρους τόπους, καὶ ἀνταμόνει ἁγίους καὶ γνωστικωτάτους ὁσίους, καὶ τὰς ἀρετὰς ὅλων συναθροίζει εἰς τὸν ἑαυτόν του, ὡς ἄλλη φιλόπονος μέλισσα· ὥστε καὶ αὐτὸς ἔγεινεν εἰς τοὺς ἄλλους τύπος καὶ παράδειγμα παντὸς εἴδους ἀρετῆς, καὶ μὲ τὸν λόγον καὶ μετὰ τὰ ἔργα του παρεκίνει ἐκείνους εἰς τὸν ἰδικόν του ζῆλον καὶ μίμησιν. Πάντα δὲ τὰ μοναστήρια καὶ ἀσκητήρια περιῆλθεν ὁ ἀοίδιμος, ὅσα εὑρίσκοντο εἰς ὅλην τὴν Αἴγυπτον, καὶ Θηβαΐδα, καὶ Νητρίαν, καὶ Ἀσίαν, καὶ Πόντον καὶ Καππαδοκίαν. Ὅθεν ἀνώτερος τῶν παθῶν γενόμενος, καὶ τὸν νοῦν καθαρίσας, ἐγνώρισεν ἀκριβῶς καὶ διὰ τῆς πείρας καὶ διὰ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος τὴν τῆς μοναδικῆς πολιτείας ἀκρίβειαν, καὶ τὴν τελείαν κατὰ τῶν παθῶν νίκην· διὰ τοῦτο σοφῶς ἄγαν καὶ ὑψηλῶς συνέγραψε περὶ τῶν ὀκτὼ λογισμῶν [1] καὶ περὶ τῆς τάξεως τῶν ἐν Αἰγύπτῳ καὶ Ἀσίᾳ Κοινοβίων. Διὰ μέσου τῶν ὁποίων συγγραμμάτων μεγάλην ὠφέλειαν προξενεῖ καὶ εἰς τοὺς ἡσυχαστὰς, καὶ εἰς τοὺς κοινοβιάτας.

Ἦτο δὲ ὁ μακάριος οὗτος καὶ ἀπὸ μόνην τὴν θεωρίαν του πολλῆς ὠφελείας καὶ πνευματικῆς ἡδονῆς πρόξενος, καὶ ἁπλῶς εἰπεῖν, αὐτὸς καὶ σιωπῶν καὶ λαλῶν, ἦτο διδασκαλία καὶ συμβουλή· αὐτὸς ἦτο ἐνταυτῷ καὶ ἁπλούστατος καὶ διακριτικώτατος, ὥστε καὶ ὁ πανόσιος ἐκεῖνος καὶ τρισμακάριος Ἰωάννης ὁ τῆς Κλίμακος ἐπαινεῖ τὸν ὅσιον τοῦτον εἰς τὸν περὶ ὑπακοῆς λόγον του. Μὲ τοιοῦτον λοιπὸν τρόπον ὁσίως ζήσας, καὶ εἰς ἄκρον ἀπαθείας φθάσας, καὶ μὲ προφητικὸν διαλάμψας χάρισμα, καὶ μέγας ἀναφανεὶς πανταχοῦ, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησε· τὸ δὲ τίμιον αὐτοῦ λείψανον ἀναβρύει πλουσίως διαφόρους ἰατρείας εἰς τοὺς μετὰ πίστεως αὐτῷ πλησιάζοντας. [2]

Ταῖς τοῦ σοῦ ὁσίου πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς.

---

[1] Ὅρα περὶ τοῦ συγγράμματος τούτου εἰς τὴν Φιλοκαλίαν σελ. 59.

[2] Ἡ ἀκολουθία αὐτοῦ ἐτυπώθη τὸ πρῶτον ἐνετίησιν ἐν ἔτει 1787. Σ. Ε.

» Φεβρουάριος μὴν ἔληξεν ἐνθάδε,
» Θεῷ δὲ δόξαν τῷ ἀλήκτῳ προσφέρει.

Digitized by Google

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

Εἰς τὸν ἅγιον Ἱερομάρτυρα καὶ θαυματουργὸν

ΧΑΡΑΛΑΜΠΗ.

Εὐλογήσαντος τοῦ ἱερέως, λέγομεν τὸ, Κύριε εἰσάκουσον τῆς προσευχῆς μου· εἶτα τὸ, Θεὸς Κύριος· καὶ οὕτω λέγομεν τὸ τροπάριον πρὸς τὸ, Τῇ Θεοτόκῳ ἐκτενῶς.

Τοῦ Χαραλάμπους τῷ Ναῷ νῦν προσδράμωμεν, καὶ τῇ εἰκόνι τῇ αὐτοῦ προσκυνήσωμεν, ἐκ κατωδύνου κράζοντες καρδίας αὐτῷ· πρόφθασον καὶ λύτρωσαι, τῆς παρούσης ἀνάγκης· τάχυνον καὶ κόπασον, τοῦ πανώλους τὴν θραῦσιν, ταῖς πρὸς Χριστὸν εὐχαῖς σου ἀθλητά· ἵνα σε πάντες ἀεὶ μακαρίζωμεν.

Δόξα, τὸ αὐτό· καὶ νῦν. Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμ. Ὁ Ν. Εἶτα ὁ Καθ. Ὠδὴ ά, ἦχος π.ι. δ'. Ἁρματηλάτην Φαραὼ ἐβύθισε.

Πᾶσαν νικῶντα θεραπείαν βλέποντες, καὶ μηχανὴν ἰατρῶν, τὸν νῦν ἐπελθόντα, λοιμὸν τοῖς οἰκέταις σου, πίστει θερμῇ προστρέχομεν, τῇ ἁγίᾳ σου σκέπῃ, Ἱερομάρτυς Χαράλαμπες, πρόφθασον ἡμᾶς κινδυνεύοντας.

Καθάπερ ἄλλος Ἀαρὼν Χαράλαμπες, ἐν μέσῳ στὰς τῶν νεκρῶν, καὶ τῶν τεθνεώτων, τὴν φορὰν τὴν ἄσχετον, τοῦ νῦν θανάτου κόπασον· προσευχῶν σου δὲ πάτερ, προσενεγκὼν τὸ θυμίαμα, τὴν ὀργὴν Κυρίου κατάπαυσον.

Πανωλεθρίαν τὴν δεινὴν θεώμενος, τοῦ βροτοκτόνου λοιμοῦ, ἱερεῦ Κυρίου, ἔνδοξε Χαράλαμπες, σπλαγχνίσθητι καὶ τάχυνον, εὐμενίσαι τὰ σπλάγχνα, Θεοῦ τοῦ φύσει οἰκτίρμονος, ἅπερ καθ' ἡμῶν παρωργίσαμεν. Θεοτοκίον.

Καιρὸς κακῶν, καιρὸς ὀργῆς κατέλαβε, τοὺς ταλαιπώρους ἡμᾶς· ὁ λοιμὸς γὰρ πάντας, χλόην ὥσπερ ἔκειρε. Μαρία Μητροπάρθενε, δράμε πρόφθασον τάχος, καὶ τὸν Υἱόν σου ἱλέωσαι, ἐφ' ἡμῖν τοῖς ἄμετρα πταίσασιν.

Ὠδὴ γ', Οὐρανίας ἀψίδος.

Ζωηφόροις ἐν αὔραις, σῶν πρεσβειῶν ἅγιε, τὸν διεφθαρμένον ἀέρα λοιμοῦ ἀπέλασον, ὃν ἀναπνέοντες, τὴν γῆν οἱ ταύτην οἰκοῦντες, θάνατον ἐπώδυνον τάχος λαμβάνουσιν.

Ὡς τοὺς στάχυς θερίζει, τὸ τμητικὸν δρέπανον, οὕτως ὁ λοιμὸς ἐκθερίζει ἀνθρώπους ἅπαντας. Μάρτυς Χαράλαμπες, σύγκοψον τούτου τὴν θραῦσιν, καὶ θανάτου λύτρωσαι τοὺς προσφυγόντας σοι.

Ἐχωρίσθημεν οἴμοι! ἀναστροφῆς ἅγιε, καὶ ἐπιμιξίας ἁπάσης ἀλλήλων εἴρχθημεν, πανώλους δείματι. σὺ οὖν ἐκ μέσου ποιήσας, τοῦτον ἡμᾶς ἕνωσον αὖθις πρεσβείαις σου. Θεοτοκίον.

Ἴδε Δέσποινα κόσμου, ἴδε λαοῦ κάκωσιν, τοῦ ἀγορασθέντος τιμίῳ Υἱοῦ σου αἵματι, καὶ οἰκτειρήσασα, τοῦτον ὡς εὔσπλαγχνος Μήτηρ, τοῦ λοιμοῦ ἀπάλλαξον τοῦ πανδαμάτορος.

Διάσωσον ἐκ τοῦ κινδύνου λοιμοῦ τοῦ πανωλεθρίου Ἱερομάρτυς Χριστοῦ, ἡμᾶς τοὺς προστρέχοντας τῇ σκέπῃ σου τῇ θερμῇ καὶ ἁγίᾳ.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Καὶ ποιεῖ κάθησιν ὁ ἱερεὺς ὑπὲρ ὧν βούλεται ὀνομάτων. Εἶτα λέγομεν τὸ παρὸν, πρὸς τὸ,

Πρεσβεία θερμή.

Πολλοῖς ἐν κακοῖς κυκλούμεθα οἱ τάλανες, ἐντεῦθεν λοιμοῦ, τῷ φόβῳ συνεχόμενοι· ἐκεῖθεν δὲ κατεχόμενοι, συγκλεισμῷ καὶ στερούμενοι, τῶν ἀναγκαίων σὲ αἰτοῦμεν ἀθλητά, κατοικτειρῆσαι ἡμᾶς κινδυνεύοντας.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Ὅπου ἡ σὴ, ἐπισκιάζει Χαράλαμπες, θεία χάρις, καὶ σεπτόν σου ὄνομα ἐπικαλεῖται πίστει θερμῇ, ἐκεῖθεν ἡ νόσος, ἡ τοῦ λοιμοῦ ἐκδιώκεται· διὸ ἐκδιωξάτω, καὶ νῦν τοῦτον σὴ χάρις, ἀφ' ἡμῶν τῶν καλούντων σὸν ὄνομα.

Βλέψον ἡμᾶς, κακὰ παθόντας τὰ ἔσχατα, ἀθλοφόρε, καὶ ἵλεως φάνηθι· ἰδοὺ γὰρ πάντας ὁ νῦν λοιμὸς, ἀοίκους πλανήτας, ἀνέδειξε καὶ

Digitized by Google

ἀπόλιδας. θάνατος γὰρ ἐν οἴκοις, θάνατος ἐν πλατείαις, καὶ ἐν πόλει καὶ κώμῃ νῦν θάνατος.

Ηρὶν μὲν Δαβὶδ, βλέπων τὸν Ἄγγελον κτείνοντα, μυριάδας, τοῦ λαοῦ ἱλέωσε, τοῦτον θυσίᾳ ἐν αἰσθητῇ. σὺ δὲ Ἀθλοφόρε, ὁρῶν λοιμὸν τὸν συγκόπτοντα, τὰ πλήθη Χριστωνύμων, πρεσβειῶν σου θυσίᾳ, νοερᾷ Θεὸν ἵλεων ἔργασαι.

Θεοτοκίον.

Μῆτερ Θεοῦ, τῶν κοπετῶν νῦν ἐπάκουσον, καὶ τῶν θρήνων, οὕσπερ οἱ οἰκέται σου, ἐπὶ νεκροῖς ποιοῦσιν αὐτῶν. πτώματα γὰρ τούτων, πολλάκις μένουσιν ἄταφα, ὀρνέοις καὶ θηρίοις οἶμοι κείμενα βρῶσις· συμφορὰν τοίνυν τούτων οἰκτείρησον.

Ὠδὴ έ. Ἵνα τί με ἀπώσω;

Ὁ φλογίζων πανώλης, καὶ τὴν φλογερὰν προσλαβόμενος ἔξωθεν, ὥραν τὴν τοῦ θέρους, Βαβυλῶνος ὡς κάμινος γέγονεν, ἐμπιπρῶν αὐτίκα, τοὺς ὑπ' αὐτοῦ κατεχομένους· ἀλλὰ σὺ τοῦτον Μάρτυς κατάσβεσον.

Ἡ πληγὴ ἡ δεκάτη, νῦν τοῦ Φαραὼ ἡμᾶς πάντας κατέλαβε. νῦν ὁ ὀλοθρεύων, ἐν οἰκίαις ἡμῶν πάντας ἔκτεινεν. Ἱερεῦ Κυρίου, αἷμά σου δεῖξον τῷ Δεσπότῃ, καὶ εὐθὺς ἐκδιώξει τὸν ὄλεθρον.

Τὴν Χριστοῦ θείαν ποίμνην, ἔθυσεν ἐσπάραξε κατεθοινήσατο, ὁ λοιμὸς ὡς πάνθηρ· ἀλλὰ σὺ πρεσβειῶν σου Χαράλαμπες, σιδηρᾷ ἐν ῥάβδῳ, πάταξον τοῦτον διὰ τάχους, καὶ τῆς λύμης αὐτοῦ ἡμᾶς λύτρωσαι.

Θεοτοκίον.

Εὐκατάπρηστος ὕλη, ἡ ἡμῶν κακία Παρθένε γεγένηται· ἐξ ἧς συνετράφη, ὁ λοιμὸς καὶ τοὺς πάντας κατέφλεξε· σὺ οὖν ὡς ἀύλου, πυρὸς δοχεῖον φλέξον ὕλην, καὶ ὁ φλέγων λοιμὸς συμφλεχθήσεται.

Ὠδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.

Τὴν ἄμπελον, τοῦ Θεοῦ τὴν εὔκαρπον ἐξ Αἰγύπτου ὁ Χριστὸς ἣν μετῆρε, τῆς σκοτεινῆς, ἀθείας καὶ πλάνης, ὡς μονιὸς ὁ λοιμὸς ἐνεμήσατο. Χαράλαμπες μάρτυς Χριστοῦ, τοὺς ὀδόντας αὐτοῦ ταχὺ σύντριψον.

Σοὶ δέδοται, χάρις αὕτη ἅγιε, ἐξαιρέτως παρὰ πάντας ἁγίους, παύειν λοιμοῦ, πανωλέθρου τὴν νόσον. ἀλλὰ καὶ νῦν ταύτην ἔμπρακτον ποίησον, διώξας τάχος τὸν λοιμὸν, ἐξ ἡμῶν τῶν ἐν πίστει τιμώντων σε.

Ὡς δράκοντα, Δανιὴλ διέρρηξε, Βαβυλώνιον τεχνάσματι θείῳ· οὕτω καὶ σὺ, ὦ Χαράλαμπες μάρτυς, τὸν λαὸν τοῦ Θεοῦ λυμαινόμενον, διάρρηξον σῶν πρεσβειῶν, τῷ φαρμάκῳ λοιμὸν τὸν Αἰγύπτιον.

Θεοτοκίον.

Προσπέσωμεν, ἀδελφοὶ καὶ κλαύσωμεν, καὶ Χριστῷ μετανοήσωμεν πάντες, ἀπὸ ψυχῆς καὶ καρδίας βοῶντες· φεῖσαι λαοῦ σου φιλάνθρωπε Κύριε· καὶ παῦσον ῥᾳδίως τοῦ λοιμοῦ, δραστικαῖς Μητρός σου δεήσεσιν.

Διάσωσον, ἐκ τοῦ κινδύνου λοιμοῦ τοῦ πανωλεθρίου, Ἱερομάρτυς Χριστοῦ ἡμᾶς τοὺς προστρέχοντας, τῇ σκέπῃ σου τῇ θερμῇ καὶ ἁγίᾳ. Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον.

Εἶτα τὸ Κοντάκιον, πρὸς τὸ,

Προστασία τῶν Χριστιανῶν.

Ἱερεῦ τοῦ Χριστοῦ, καὶ θῦτα ἐννομώτατε· ἀθλητῶν καλλονὴ, καὶ μάρτυς γενναιότατε. Ἱερὲ Χαράλαμπες μεσίτευσον Χριστῷ, ὅπως ἐξάρῃ τοῦ λοιμοῦ, τὴν βαρυτάτην συμφορὰν, τὴν ἡμᾶς κατατρύχουσαν· ἔχεις τὰ δυσωποῦντα, τοῦτον τίμια πάθη, καὶ τὸ μαρτύριον τὸ σὸν, ὃ δι' αὐτὸν χαίρων ἤνυσας.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ. Στίχος. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου· Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Βλέπετε μή τις ὑμᾶς πλανήσῃ. Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, ἐγώ εἰμὶ ὁ Χριστὸς, καὶ πολλοὺς πλανήσουσι. Μελλήσετε δὲ ἀκούειν πολέμους, καὶ ἀκοὰς πολέμων. Ὁρᾶτε μὴ θροεῖσθε, δεῖ γὰρ πάντα γενέσθαι, ἀλλ' οὔπω ἐστὶ τὸ τέλος, Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν. Καὶ ἔσονται λοιμοὶ, καὶ λιμοὶ, καὶ σεισμοὶ κατὰ τόπους. Πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων.

Δόξα. Ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Εἶτα, Ἐλέησόν με ὁ Θεός.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Θύτην ἐννομώτατον, καὶ ἀθλοφόρον Κυρίου. πολιὰν σεβάσμιον, γηραλέον φρόνημα, καὶ πᾶν τίμιον. Κεφαλὴν θείαν τε, αὐτουργὸν θαυμάτων· ἐλατῆρα πανδαμάτορος, λοιμοῦ γινώσκοντες, σὲ Ἱερομάρτυς Χαράλαμπες, ἡμεῖς πάντες οἱ δοῦλοί σου, τῇ σῇ ἀντιλήψει προστρέχομεν· ἴδε οὖν παμμάκαρ, τὴν θλῖψιν καὶ τὴν κάκωσιν ἡμῶν, καὶ λύσον τάχος τὸν κίνδυνον, τοῦ πανώλους ἅγιε.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Ἵνα σε πάντες εὐφημῶμεν, ἵνα μέλπωμεν, ἀεὶ τὸ ὄνομά σου, ἐξελοῦ πειρασμοῦ, λοιμοῦ

Digitized by Google

πανολεθρίου, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, ὦ Χαράλαμπες τρισμάκαρ.

Νέφος θανάτου ὀξυτάτου, κατεκάλυψεν ἡμᾶς τοὺς σοὺς οἰκέτας· πρεσβειῶν σου πνοαῖς, σκέδασον τοῦτο μάκαρ, καὶ τῆς ζωῆς ἀνάτειλον, καθαρὰν ἡμῖν αἰθρίαν.

Λαίλαψ καθάπερ ἐμπεσοῦσα, διετάραξε τὸν βίον ἡμῶν πάντων, ὁ πανώλης λοιμός· ἀλλὰ σὺ ἀθλοφόρε, εἰς σταθερὰν μετάβαλε, τὴν ζωὴν ἡμῶν γαλήνην. Θεοτοκίον.

Λύτειρα λύπης Θεοτόκε, καὶ εὐρύχωρον δοχεῖον χαρᾶς κόσμου, λῦσον λύπης πικρᾶς, λοιμοῦ τοῦ βροτοκτόνου, ἡμᾶς τοὺς ἀνυμνοῦντάς σε, καὶ χαρὰν ἡμῖν παράσχου.

Ὠδὴ ἡ. Τὸν ἐν ὄρει.

Σωφρονίζων ὡς δούλους ἀτακτοῦντας, ὁ Δεσπότης, ἡμᾶς λοιμῷ μαστίζει· ἐὰν λοιπὸν σωφρονισθῶμεν ἅπαντες, λύσει τὴν παιδείαν, ὡς Θεὸς ἐλέους, πρεσβείαις Χαραλάμπους.

Φεῖσαι φεῖσαι λαοῦ τοῦ Χριστωνύμου, ἀθλοφόρε, καὶ μάχαιραν Κυρίου, τὴν ἡβηδὸν τοὺς πάντας ἀποσφάττουσαν, ἤδη ἀοράτως, στρέψον εἰς τὴν θήκην, σαῖς δραστικαῖς πρεσβείαις.

Ἠρημώθη, ἡ πόλις ἡμῶν πᾶσα, καὶ αἱ κῶμαι, ἐγένοντο νῦν πόλεις καὶ ἐρημίαι, κατοικίαι ὤφθησαν, τοῦ λοιμοῦ τῷ φόβῳ· ὃν ἀποδιώξαις ταῖς σαῖς πρεσβείαις μάκαρ. Θεοτοκίον.

Χριστοῦ Μήτηρ, καὶ Μήτηρ Χριστωνύμων, σὺ ὑπάρχεις, Παρθένε διὸ τάχος, τὰ κατὰ χάριν τέκνα σου ἐλέησον, ἡμᾶς κακωθέντας, καὶ σωφρονισθέντας τῇ τοῦ λοιμοῦ παιδείᾳ.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Παυσώμεθα τοῦ εἶναι ἄνδρες λοιμοί, ἐν καθέδρᾳ λοιμῶν καθεζόμενοι, καὶ τῶν κακῶν, ἀλλήλοις γενόμενοι ἀρχηγοί, μεταδιδόντες ἅπασι, τῆς διαφθειρούσης λύμης ψυχάς· καὶ παύσεται αὐτίκα, λοιμὸς ὁ τῶν σωμάτων, ὁ πάντας φθείρων τοὺς ἐγγίζοντας.

Παρέβημεν Κυρίου τὰς ἐντολὰς, τὰς ζωὴν προξενούσας τοῖς πράττουσι, πάντες ἡμεῖς· διὰ τοῦτο πρόστιμον καὶ ποινὴν, τὸν θάνατον νῦν εὕρομεν, καὶ τὴν τοῦ πανώλους διαφθοράν· θάνατος γὰρ ὑπάρχει, καθὼς βοᾷ ὁ Παῦλος, τῆς ἁμαρτίας τὰ ὀψώνια.

Οὐκ ἔχομέν τι δῶρον προσενεγκεῖν, ἱκανὸν δυσωπῆσαι Χαράλαμπες· οὐκ ἀρετὰς, οὐ κατορθωμάτων ἴχνος βραχύ· θερμὰ μικρά σοι δάκρυα, ταῦτα προσενέγκομεν ἐκ ψυχῆς, καὶ σε ναγμοὺς ὀλίγους· οὓς πρόσφερε Κυρίῳ, καὶ λοιμοῦ σῶσον πανδαμάτορος. Θεοτοκίον.

Παράλαβε Παρθένε πάντας χοροὺς, τῶν ἀύλων Ἀγγέλων Ἁγίων τε, καὶ ἐκτενῆ, ποίησον πρεσβείαν τῷ σῷ Υἱῷ· δεῖξον μαστοὺς καὶ χεῖράς σου· δεῖξον σπόγγον λόγχην καὶ τὸν σταυρὸν, τὰ σὰ καὶ τὰ ἐκείνου, καὶ οὕτω παῦσον Κόρη, λοιμοῦ τὴν νόσον τὴν πανώλεθρον.

ΜΕΓΑΛΥΝΑΡΙΑ

Εἰς τὸν αὐτὸν ἅγιον ἱερομάρτυρα καὶ θαυματουργὸν

ΧΑΡΑΛΑΜΠΗ.

Τὸν ἐν ἱερεῦσι θαυματουργὸν, καὶ ἐν ἀθλοφόροις, ἀπροσμάχητον βοηθὸν, τὸν τοῦ βροτοκτόνου, πανώλους ἐλατῆρα, τὸν μέγαν Χαραλάμπη ὕμνοις τιμήσωμεν..

Ἔχοντες Ναόν σου τὸν Ἱερὸν, τοῦτον ἀθλοφόρε, ὡς προπύργιον ὀχυρὸν, προσφεύγομεν τούτῳ, καιρῷ τῷ τοῦ πανώλους, καὶ ἐπηρείας πάσης αὐτοῦ λυτρούμεθα.

Σκέπε φρούρει φύλαττε ἀθλητὰ, τοὺς ὑπὸ τὴν σκέπην, καταφεύγοντας νῦν τὴν σὴν, καὶ ῥῦσαι ἐκ βλάβης, λοιμοῦ τοῦ πανωλέθρου, ταῖς θείαις σου πρεσβείαις μάρτυς Χαράλαμπες.

Μέγα σου τὸ ὄνομα ὁ Χριστὸς, καὶ τὴν δόξαν πᾶσιν, ὀρθοδόξοις χριστιανοῖς, ἐποίησε μάρτυς, Χαράλαμπες γενναῖε, λοιμοῦ σε ἀναδείξας ῥύστην ὀξύτατον.

Νῦν καιρὸς ἀνάγκης ἦλθεν ἡμῖν· νῦν πάρεστι χρεία, βοηθείας μάρτυς Χριστοῦ· λύτρωσαι οὖν πάσης, ἀνάγκης τοῦ πανώλους, καὶ χεῖρα βοηθείας τάχιστα ὄρεξον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί.

Τὸ Τρισάγιον.

Ἐν δὲ τῇ προσκυνήσει τῆς τοῦ ἁγίου εἰκόνος ψάλλεται τὸ παρὸν, πρὸς τὸ,

Πάντων προστατεύεις.

Πάντας τοὺς τὴν θείαν καὶ σεπτὴν, σοῦ ἀσπαζομένους εἰκόνα, μάρτυς Χαράλαμπες, πάσης ἀπολύτρωσαι, ὀργῆς καὶ θλίψεως· κατ' ἐξαίρετον τρόπον δὲ, τῆς νῦν κατεχούσης, ἀνάγκης ἀπάλλαξον, τοῦ πανωλέθρου λοιμοῦ· ὅπως ταῖς πρεσβείαις σου πάντες, πάντοτε σωζόμενοι πόθῳ, τὸ σεπτόν σου ὄνομα γεραίρωμεν.

Ἐκ παντοίων κινδύνων τοὺς δούλ.

Καὶ γίνεται ἀπόλυσις· (ὅρα καὶ εἰς τὴν δεκάτην τοῦ Φεβρουαρίου.)

Digitized by Google

Τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου ΤΙΜΟΘΕΟΥ *τὰ ἐκ τῆς ἱερᾶς ἀκολουθίας ἐλλειποντα τροπάρια, ψαλλόμενα τοῖς βουλομένοις.*

Εἰς τὴν λιτὴν Ἦχος α'.

Ἀκτῖσι καταυγασθεὶς, τοῦ λαμπροῦ τῆς οἰκουμένης ἡλίου, Παύλου τοῦ τῶν ἐθνῶν διδασκάλου καὶ χριστοκήρυκος, ἄλλος ἐκείνου παρήλιος γέγονας, Τιμόθεε Ἀπόστολε· ὅθεν τὴν μὲν διάνοιαν τῶν ἀπίστων, ὡς ἐκεῖνος, φωτὶ τῆς σῆς διδασκαλίας ἐφώτισας· τὴν δὲ καρδίαν αὐτῶν, εἰς πόθον τῆς θεογνωσίας ἐθέρμανας· καὶ νῦν πρεσβεύεις ἐκτενῶς τῷ Κυρίῳ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'.

Ὦ τῆς μεγίστης ἀξίας καὶ χάριτος, ἧς ἔτυχες Τιμόθεε Ἀπόστολε! τοῦ γὰρ εἰς τρίτον οὐρανὸν ἁρπαγέντος, καὶ ἄρρητα ἀκούσαντος ῥήματα, τοῦ σκεύους τῆς ἐκλογῆς, τοῦ ἐν Χριστῷ λαλοῦντος Παύλου· τοῦ τῶν Ἀποστόλων κορυφαίου, τῆς ἐξαιρέτου καὶ διαφερούσης, καὶ ἰδιαιτέρας ἀγάπης, παρὰ τοὺς ἄλλους πάντας ἠξίωσαι· τέκνον γάρ σε ἀγαπητὸν καὶ γνήσιον ὡς πατὴρ φιλοστοργότατος, γλυκερώτατα ὀνομάζει, μνείαν σου ποιούμενος, νυκτὸς καὶ ἡμέρας ἐν ταῖς δεήσεσι, καὶ ἐπιποθῶν σε ἰδεῖν, ἵνα χαρᾶς πληρωθῇ, μεμνημένος σου τῶν δακρύων· καὶ νῦν σὺν αὐτῷ ἐν οὐρανοῖς, αὐλιζόμενος, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου τελούντων, τὴν ἱεράν σου πανήγυριν.

Ἦχος γ'.

Ῥίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία· ἧς τινες ὀρεγόμενοι, ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως, καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς. Πρὸς σὲ ἐπιστέλλων, ὁ μέγας Παῦλος ἔγραφε, Τιμόθεε ἀπόστολε· ἧς καὶ ἡμᾶς ἐξελοῦ ταῖς πρεσβείαις σου, τοὺς ἐν ἀκτημοσύνῃ βιοῦν ὑπεσχημένους Θεῷ παναοίδιμε· καὶ πάντα τὰ ἄλλα φυλάττειν, τὰ πρὸς σὲ παρ' ἐκείνου γεγραμμένα ἀξίωσον, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα Ἦχος α'. *τὸ ἐν τῷ Μηναίῳ. Τὸν φωστῆρα τῶν πιστῶν καὶ Ἀπόστολον, καὶ τὰ ἑξῆς. Εἰς τὸν Στίχον* Ἦχος δ'. *Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Δεῦτε πρόθυμα ἀθροίσθητε, οἱ φιλέορτοι ἅπαντες, καὶ τὴν πανσεβάσμιον ἐκτελέσατε, μνήμην ἐνθέοις ἐν ἄσμασι, Τιμοθέου σήμερον Ἀποστόλου τοῦ σεπτοῦ, τὸν Χριστὸν μεγαλύνοντες καὶ δοξάζοντες, τὸν αὐτὸν εἰς τὰ πέρατα τοῦ κόσμου, ὡς φωστῆρα τῶν ἐν σκότει, διαπρυσίως ἀοξάσαντα.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν.

Ἀποστόλων ὁμότροπον· ἀληθείας τὸν κήρυκα· εὐσεβείας πρόβολον ἀδιάσειστον. Παύλου υἱὸν ἐπιστήθιον. Μαθητήν τε γνήσιον, καὶ συνέκδημον ὁμοῦ, τὸν Τιμόθεον ἅπαντες μακαρίσωμεν, πρὸς αὐτὸν ἐκβοῶντες μὴ ἐλλίπῃς, ἀεννάως ἱκετεύειν, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται.

Διδαχῇ ἠκολούθησας, τῇ τοῦ Παύλου Τιμόθεε, ἀγωγῇ προθέσει τε πίστει ἔνδοξε, μακροθυμίᾳ ἀγάπῃ τε, διωγμοῖς παθήμασιν, ὡς υἱὸς ἀληθινὸς, μαθητὴς ὥσπερ γνήσιος· ὅθεν ἄγιε, σὺν τῷ Παύλῳ τῷ θείῳ νῦν ἀγάλλῃ, εἰς αἰῶνας τῶν αἰώνων, ἐν οὐρανίοις σκηνώμασιν.

Δόξα Ἦχος δ'.

Ὡς βέλος τοῦ δυνατοῦ, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως ἐπάγης, ἀπόστολε Τιμόθεε, καθὰ ὁ ψαλμογράφος Δαβὶδ προεφώνησεν· ὡς βέλος ὅμως ἠκονημένον· ἵνα τῇ μὲν ὀξύτητι, εἰς τὸ βάθος παραδυόμενος, τέμνῃς προθέλυμνον τῆς ἀσεβείας τὴν ἄκανθαν· τῇ δὲ λαμπρότητι, τὴν διάνοιαν φωτίζῃς πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν· καὶ τοῖς δυσὶν ὁμοῦ, τοὺς πρώην ἐχθροὺς, φίλους ποιῇς ὑποσπόνδους, Χριστῷ τῷ βασιλεῖ τῶν δυνάμεων· ᾧ παριστάμενος σὺν παρρησίᾳ, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἐκ παντοίων κινδύνων.

Εἰς τὸν Ὄρθρον μετὰ τὴν ά, Στιχολογ. Κάθισμ. Ἦχος ά.

Τὸν τάφον σου Σωτήρ.

Ἡ μνήμη ἡ φαιδρὰ, Τιμοθέου ἐπέστη, καὶ πάντων δαδουχεῖ τῶν πιστῶν τὰς καρδίας· αὐτὴν οὖν ἑορτάσωμεν, καὶ ἡμεῖς μετὰ πίστεως· ἵνα λάβωμεν, παρὰ Χριστοῦ τοῦ Σωτῆρος, χάριν ἔλεος, καὶ ὀφλημάτων τὴν λύσιν, τοῦ τοῦτον δοξάσαντος.

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.

Παρθένος ἀληθῶς, πρὸ τοῦ τόκου Παρθένε. Παρθένος ἀληθῶς, ἐν τῷ τόκῳ Παρθένε. Παρθένος ἀειπάρθενος, μετὰ τόκον διέμεινας· ὅθεν δέομαι, ὡς ἠγεμὼν τῶν παρθένων, παρθενεύειν με, νοὶ ψυχῇ σώματί τε, Παρθένε ἐνίσχυσον.

Μετὰ τὴν β'. Στιχολογ. Κάθ. Ἦχος γ'.

Digitized by Google

Τὴν ὡραιότητα.

Πυκναῖς ἐπάλαισας, νόσοις τοῦ σώματος· κακοπαθείας τε, πολλὰς ὑπέμεινας, Εὐαγγελίου τοῦ Χριστοῦ, χάριν μάκαρ Τιμόθεε· καὶ θάνατον ἔλαβες, δι' αὐτὸν καρτερώτατε· ὅθεν ἐν ὑψίστοις σε, ὁ Χριστὸς ἐστεφάνωσε, στεφάνοις ἀκηράτοις τοῖς τῆς δόξης, Ἀπόστολον αὐτοῦ ὡς θεῖον.

Δόξα τὸ αὐτό· Καὶ νῦν Θεοτοκίον.

Ἐν τῇ κοιμήσει σου Παρθένε ἄχραντε, καὶ ὁ Τιμόθεος συνεισελήλυθε, μετὰ τῶν ἄλλων μαθητῶν, εἰς θέαν τοῦ ἱεροῦ σου, καὶ πανσέπτου σώματος· καὶ ὑμνούντων ἀκήκοεν, ἐνθεαστικώτατα, ἀποστόλων τὸν τόκον σου· καὶ ὕμνους τοὺς ἐκείνων ἐκ στήθους, ἔλεγε πᾶσι μετὰ ταῦτα.

Μετὰ τὸν Πολυέλεον Κάθ. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον, ἡ Ἐκκλησία, τὴν λαμπρὰν καὶ εὔσημον, σοῦ ὦ Τιμόθεε σοφὲ, μνήμην Χριστὸν μεγαλύνουσα, τὸν σὲ ἐν πόλῳ καὶ γῇ μεγαλύναντα.

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.

Ἐπληγώθην πάθεσιν, ἰάτρευσόν με· ἐκακώθην πταίσμασι, σῶσόν με Μῆτερ τοῦ Θεοῦ, ἡ τὸν Σωτῆρα κυήσασα, καὶ ἰατῆρα τῶν νόσων Πανάχραντε.

Οἱ ἀναβαθμοὶ τὸ ἀ. Ἀντίφωνον τοῦ δ'. ἦχος Προκείμενον. Εἰς πᾶσαν τὴν γῆν.

Στίχος. Οἱ οὐρανοὶ διηγοῦνται. Πᾶσα πνοή. Εὐαγγέλιον ζήτει εἰς Ἀπόστολον.

Δόξα. Ταῖς τοῦ Ἀποστόλου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Ἐλεῆμον ἐλέησόν με Ἦχος πλ. β'.

Τῷ θρόνῳ τῆς μεγαλωσύνης Χριστοῦ τοῦ Θεοῦ, ἀμέσως παριστάμενος Ἀπόστολε Τιμόθεε. Καὶ μετὰ Παύλου τοῦ σοῦ Διδασκάλου, καὶ κατὰ πνεῦμα Πατρὸς φιλοστόργου, παρρησίαν πρὸς αὐτὸν κεκτημένος, μνημόνευε ἡμῶν, τῶν μνημονευόντων σου ἱερώτατε· καὶ πρέσβευε ἀπαύστως σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τοὺς Αἴνους ἱστῶμεν Στιχ. δ'. καὶ Ψάλλομεν Στιχηρ. Προσόμ. Ἦχος ά.

Τῶν Οὐρανίων ταγμάτων.

Τὴν ἱεράν σου εἰκόνα, κατασπαζόμεθα, νῦν αἰσθητῶς παμμάκαρ, νοερῶς δὲ τὸ θεῖον, λείψανόν σου πάντες ἀπὸ ψυχῆς, προσκυνοῦμεν Τιμόθεε, ἐκδυσωποῦντές σε βλάβης παντοδαπῆς, καὶ κινδύνου ἡμᾶς ῥύεσθαι.

Τὸν εὐκλεῆ ἱεράρχην μέγαν Τιμόθεον· τὸν πρόεδρον Ἐφέσου. Ἀποστόλων τῶν θείων, ἐφάμιλλον καὶ Παύλου τὸν μαθητήν, καὶ υἱὸν γνησιώτατον· καὶ πρεσβευτὴν παντὸς κόσμου χαρμονικῶς, οἱ πιστοὶ ἀνευφημήσωμεν.

Τῆς ὑπερθέου Τριάδος καταστραπτόμενος, φωτουργικαῖς ἀκτῖσιν, ὦ Τιμόθεε μάκαρ, πρέσβευε ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν πιστῶς γεραιρόντων σε· τῶν συνωνύμων σοι μάλιστα τῶν τὴν σὴν, ἐκτελούντων μνήμην ἔνδοξε.

Ὦ τῆς μεγάλης ἰσχύος τῆς τῶν δακρύων σου! Τιμόθεε τρισμάκαρ, ὧν ὁ Μέγας ἐκεῖνος, Παῦλος μεμνημένος, σὲ κατιδεῖν, ἐπεπόθει ἀοίδιμε· ὧν περ τὴν χάριν πανεύφημε καὶ ἡμῖν, τοῖς οἰκέταις σου κατάπεμψον.

Δόξα Ἦχος πλ. ά.

Ὦ τέκνον ἀγαπητὸν τοῦ Παύλου Τιμόθεε· ὦ παίδων Διονυσίου ἱερῶν ἱερώτατε· ὦ ἄνθρωπε τοῦ Θεοῦ, καὶ Ἀποστόλων ὁμότροπε· πολλὰς γάρ σοι τὰς κλήσεις ἡ ἀρετὴ πεποίηκε· ποῖός σε λόγος κατ' ἀξίαν εὐφημῆσαι δυνήσεται; σὺ θησαυροφυλάκιον μυστικὸν, τῆς οὐρανίου σοφίας καὶ γνώσεως γέγονας· ἃ γὰρ ὁ Παῦλος, εἰς τρίτον οὐρανὸν ἁρπαγείς, ἤκουσεν ἄρρητα καὶ ξένα μυστήρια, καὶ τῷ θείῳ Διονυσίῳ ὡς χωρητικωτέρῳ μυστικῶς παραδέδωκε· ταῦτά σοι πάλιν ὁ ἱερὸς Διονύσιος ἐνεπίστευσεν, ἅπαντα τὰ ἑαυτοῦ συγγράμματα, σοὶ μόνῳ ὡς ἱερομύστῃ, ἱερῶς ἀναθέμενος· ἀλλὰ μετάδος καὶ ἡμῖν τῶν σῶν χαρισμάτων Ἀπόστολε· καὶ πρέσβευε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Μακαρίζομέν σε. Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

ΤΡΟΠΑΡΙΑ

ΨΑΛΛΟΜΕΝΑ ΤΗ Θ'. ΤΟΥ ΔΕΚΕΜΒΡΙΟΥ.

Ἐν τῇ Λιτῇ τῆς Συλλήψεως τῆς ἁγίας Ἄννης.

Ἦχος Α'.

Εὐφραίνου ὁ Ἀδὰμ καὶ ἡ Εὔα, τοῦ γένους ἡμῶν οἱ Προπάτορες· ἀγαλλιᾶσθε τῷ πνεύματι, οἱ χειρὶ Θεοῦ δημιουργηθέντες Γενάρχαι. Ἰδοὺ γὰρ ἡ θυγάτηρ ὑμῶν, καὶ Μήτηρ γενέσθαι προορισθεῖσα Θεοῦ, σήμερον τὸ εἶναι λαμβάνει διὰ συλλήψεως ἵνα ὑμᾶς ῥεύσαντας εἰς τὸ φεῦ εἶναι διὰ τὴν παράβασιν, εἰς τὸ εὖ εἶναι ἐπαναγάγῃ, καὶ πρὸς τὴν πρώτην μακαριότητα. Καὶ συλλαμβάνεται ἐν μήτρᾳ, οὐ ψιλοῖς τῆς φύσεως νόμοις οὐ δὲ πάλιν γυμνοῖς ὅροις τῆς ὑπὲρ φύσιν χάριτος. Ἀλλὰ τῷ κατὰ φύσιν, καὶ τὸ ὑπὲρ φύσιν ἐγκαταμέμικται· τὸ μὲν,

Digitized by Google

ὅτι ἐκ φυσικῆς γονῆς, λαμβάνει τὴν ὕπαρξιν· τὸ δὲ, ὅτι ἐκ στειρωτικῶν ἅμα, καὶ γηραλέων λαγόνων, ὑπὲρ φύσιν βρεφουργεῖται· ἵνα ὑμᾶς τοὺς εἰς τὸ παρὰ φύσιν, ἐκ τοῦ κατὰ φύσιν τραπέντας, εἰς τὸ ὑπὲρ φύσιν ἀναβιβάσῃ, διὰ τοῦ ὑπερφυοῦς τόκου αὐτῆς, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ παρέχοντος πᾶσι τὸ μέγα ἔλεος.

Ἦχος Β'.

Τίς μὴ σκιρτήσει; ἢ τίς μὴ πνευματικῶς κροτήσει, ἐπὶ τῇ νῦν πανηγύρει τῆς ἀειπαρθένου καὶ Θεομήτορος; σήμερον γὰρ ἐξ Ἰωακεὶμ καὶ τῆς Ἄννης, ὡς ἐξ ἡλίου καὶ σελήνης, ἡ τὸν Ποιητὴν τῶν φωστήρων ἀποτεκοῦσα συλλαμβάνεται. Σήμερον ἐκ πρεσβυτικῆς ὀσφύος βρεφουργεῖται, ἡ τῶν χαρίτων θάλασσα ἧτις τὴν ἀέννaον πηγὴν παντὸς ἀγαθοῦ, τῷ κόσμῳ πηγάσει. Σήμερον ἐκ μικροῦ κόκκου, ῥιζοῦται ῥάβδος οὐρανομήκης, ἐξ ἧς τὸ ἀμάραντον ἄνθος βλαστήσει, Χριστὸς ὁ Θεός. Ὁ τὰς ὑποθέσεις τῶν μεγάλων πραγμάτων, πόρρωθεν καὶ ἐξ ὀλίγων ἀρχῶν καταβάλλων, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος Γ'.

Θεοτόκε Παρθένε ἡ σήμερον ἐν γῇ συλλαμβανομένη, καὶ ἐν οὐρανῷ ὡς βασίλισσα δοξαζομένη, ποῖος λόγος τὰ μεγαλεῖά σου διηγήσεται; Πάντα γὰρ τὰ σὰ ὑπὲρ φύσιν ὑπάρχει. Πάντα ἐξαίρετα. Καὶ πάντα σοὶ μόνῃ ὡς Μητρὶ τοῦ Θεοῦ, ἰδιαίτερον πρέποντα. Σοῦ καὶ ἡ Γέννησις γέγονε θαυμασία καὶ ἡ εἰς τὰ Ἅγια εἴσοδος θαυμασιωτέρα. Σοῦ καὶ ἡ Κοίμησις, ἀπρόσιτος ἔμεινε τῇ φθορᾷ. Ἀλλὰ καὶ ἡ σύλληψίς σου, ἡ νῦν προκειμένη εἰς ἔπαινον, οὐ δίχα θαύματος ἐκτετέλεσται. Πάντων γὰρ τῶν ἐν τῇ παλαιᾷ ἡγιασμένων ἐκ μήτρας, ἀνδρῶν ὑσπαρχόντων, Σὺ μόνη ἐν ταῖς γυναιξὶν, ἡγιασμένη ἐκ κοιλίας Μητρός σου ἐφάνης, Ἀρχαγγέλου τῇ φωνῇ συλληφθεῖσα, δι' ἐπαγγελίας ἁγίας. Ἔδει γὰρ Σὲ καὶ ἐν τούτῳ, ὡς Μητέρα Θεοῦ τὸ ἐξαίρετον ἔχειν ἵνα καὶ ἐν τοῖς φυσικοῖς, ὑπερφυὴς ἧς, καὶ ἐν τοῖς ἀνθρωπικοῖς, ὑπὲρ ἄνθρωπον. Ἀλλὰ δεόμεθα, πρέσβευε Θεόνυμφε, ὑπὲρ ἡμῶν τῶν ἐν πίστει εὐφημούντων, τὴν σεβασμίαν σου Σύλληψιν.

Ἦχος Δ'.

Εὐφροσύνης μυστικῆς, καὶ χαρᾶς ἀνεκφράστου ὑπόθεσις, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, σήμερον ἀνατέταλκε. Πᾶσαι γὰρ αἱ τῆς Παρθένου ἑορταὶ, χαρὰν πνευματικὴν, τοῖς πιστοῖς προμνηστεύουσιν· οὐχ ἧττον δὲ καὶ ἡ νῦν τελουμένη ταύτης πανήγυρις. Ὥσπερ γὰρ τῶν Δεσποτικῶν ἑορτῶν τοῦ Χριστοῦ, κέντρον καὶ κεφάλαιον ὑπάρχει, ἡ τούτου ἄσπορος Σύλληψις· οὕτω καὶ τῶν Θεομητορικῶν ἁπασῶν ἑορτῶν, κέντρον ὑπάρχει καὶ καταρχὴ, ἡ τῆς Παρθένου ἐκ σπέρματος, παράδοξος Σύλληψις. Ἣν περ νῦν χαρμονικῶς ἑορτάζοντες, αἰτήσωμεν διὰ τῆς Παρθένου λαβεῖν, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν. Ἦχος π.λ. δ'.

Δεῦτε φιλοπάρθενοι πάντες, τῇ Μητρὶ τοῦ Θεοῦ καὶ Παρθένῳ προσδράμωμεν. Ἰδοὺ γὰρ αὕτη συλλαμβάνεται, ἐξ Ἰωακεὶμ καὶ τῆς Ἄννης, διὰ θείας ἐπαγγελίας. Ὁ ὑπερφερὴς Οὐρανός· ἡ θεογεώργητος γῆ· ἡ ἀπαρχὴ τοῦ ἐν Χριστῷ θεωθέντος Ἀδαμιαίου φυράματος· τὸ παρόμοιον τῆς ἀρχικῆς ὡραιότητος ἴνδαλμα· ὁ μέγας ἐν μικρῷ Κόσμος, τοῦ τὸν Κόσμον ὅλον δημιουργήσαντος· τὸ ἐπίγειον τοῦ οὐρανίου Βασιλέως παλάτιον· ἡ φανέρωσις τῶν ἀποκρύφων τῆς θείας ἀκαταληψίας βυθῶν· τῶν τοῦ Θεοῦ ἐπαγγελιῶν ἡ σφραγίς. Συλλαμβάνεται τοίνυν, καὶ ὁ Κόσμος τῆς πρὸς τὴν φθορὰν, ἀναστέλλεται ῥεύσεως. Φυτουργεῖται ἐν μήτρᾳ, καὶ τὸν φυτουργὸν τῆς ζωῆς μηνύει, μικρὸν ὅσον εἰς τὴν Κτίσιν ἐρχόμενον. Ὁ θεόγλυπτος ἀνδριάς· ἡ χρυσοειδὴς διπλοΐς· ἡ ἀνεξάντλητος τῶν θείων ἀπαυγασμάτων πηγή. Ἣν προσκυνοῦντες μετὰ πόθου, μακαρίσωμεν ἐκ ψυχῆς, τὴν αὐτῆς πανεύφημον Σύλληψιν.

ΕΥΧΗ

ΤΟΥ ΑΓΙΟΥ ΜΟΔΕΣΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ.

Λεγομένη εἰς πᾶσαν θανατηφόρον ἀσθένειαν καὶ βλάβην βοῶν, ἵππων, ὄνων, ἡμιόνων, προβάτων, αἰγῶν, μελισσῶν, καὶ τῶν λοιπῶν ζώων.

ΤΟΥ ΚΥΡΙΟΥ ΔΕΗΘΩΜΕΝ.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, ὁ ἐλεήμων καὶ Πανάγαθος. Ὁ πᾶσαν τὴν νοητὴν καὶ αἰσθητὴν Κτίσιν ἐν σοφίᾳ δημιουργήσας. Ὁ τοὺς οἰκτιρμούς σου ἐχέων ἐπὶ πάντα τὰ ὑπὸ σοῦ δημιουργηθέντα. Ὁ διὰ τῆς παναγάθου Προνοίας σου πάντων προνοῶν καὶ πάντων κηδόμενος τῶν κτισμάτων σου, ἀύλων, ὑλικῶν, λογικῶν, ἀλόγων, ἐμψύχων, ἀψύχων, ἀπὸ τῶν πρώτων ἕως τῶν ἐσχάτων. Οὐδὲν γὰρ ἀπρο-

Digitized by Google

νόητον, οὐδὲ ἠμελημένον παρὰ σοὶ τῷ Ποιητῇ καὶ Προνοητῇ τοῦ παντός. Σὺ γὰρ, εἷ ὁ ἀνοίγων τὴν χεῖρά σου, καὶ ἐμπιπλῶν πᾶν ζῶον εὐδοκίας. Σὺ εἷ, ὁ ἐξανατέλλων χόρτον τῆς κτήνεσι καὶ χλόην, ἕνεκα τῆς δουλείας τῶν ἀνθρώπων. Σὺ εἷ, ὁ πάλαι τὰς τῶν ζώων ἀγέλας τοῦ Ἰσραὴλ, ἀνωτέρας διαφυλάξας τῆς θανατηφόρου πληγῆς τῶν πρωτοτόκων ζώων τῶν Αἰγυπτίων. Σὺ εἷ, ὁ διὰ τῆς ἐνσάρκου σου οἰκονομίας, καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν Διάβολον, καὶ τῷ θανάτῳ σου θανατώσας τὸν θάνατον.

Σὺ εἷ, ὁ καὶ δι' ἐμοῦ τοῦ ἀναξίου δούλου σου, τὸν μὲν ὄφιν θανατώσας, τὸν τὴν πηγὴν τοῦ ὕδατος τῷ ἑαυτοῦ ἰῷ διαφθείραντα. Τὰ δὲ ἐξ αὐτῆς πιόντα ζῶα καὶ νεκρωθέντα, τῇ ζωοποιῷ δυνάμει σου ἀναστήσας. Τὸν δὲ εἰς τοῦτο συνεργήσαντα Δαίμονα, ἐμφανῆ γενέσθαι παρασκευάσας, ὀμνύοντα μηδέποτε προσεγγίσαι τολμῆσαι, ὅπου ἂν ἐπικληθείη τὸ ταπεινὸν ἐμοῦ ὄνομα. Σοῦ τοίνυν δέομαι, Δέσποτα Πανάγαθε καὶ Ποιητὰ τοῦ Παντὸς, καὶ σὲ ἱκετεύω τὸν τῆς ζωῆς πάσης αἴτιον, ἐπάκουσον ταύτης μου τῆς δεήσεως, καὶ ἀπέλασον πᾶσαν θανατηφόρον ἀσθένειαν καὶ βλάβην ἀπὸ τῶν βοῶν, ἵππων, ὄνων, ἡμιόνων, προβάτων, αἰγῶν, μελισσῶν, καὶ τῶν λοιπῶν ζώων τῶν εἰς χρείαν ὄντων τῆς ζωῆς τῶν δούλων σου, τῶν ἐπικαλουμένων σὲ τὸν δοτῆρα πάντων τῶν ἀγαθῶν, καὶ τὸ ἐμὸν ὄνομα. Καὶ δὸς Κύριε, πᾶσι τοῖς τὴν ἐμὴν μνήμην ἐπιτελοῦσι, καὶ μετὰ πίστεως προστρέχουσι τοῖς Λειψάνοις μου, εἰρήνην σταθερὰν, πληθυσμὸν ζώων, ἀφθονίαν σίτου, οἴνου, καὶ ἐλαίου. Καὶ ἐπὶ πᾶσιν, ἄφεσιν ἁμαρτιῶν, σωμάτων ὑγείαν καὶ τὴν τῶν ψυχῶν αἰώνιον σωτηρίαν.

Ναὶ Κύριε Ἰησοῦ Χριστὲ, τοῖς ἰδίοις σπλάγχνοις ἐπικαμπτόμενος, οἰκτειρον τὰ πάσχοντα ζῶα, τῇ δρεπάνῃ τοῦ θανάτου ἀγεληδὸν θεριζόμενα. Καὶ ὡς λόγον μὴ ἔχοντα, μόνοις τοῖς μυκηθμοῖς, καὶ ταῖς γοεραῖς καὶ ἀνάρθροις φωναῖς, τὸ πάθος καὶ τὴν ὀδύνην αὐτῶν ἐλεεινῶς ἐξαγγέλλοντα, ὥστε καὶ τοὺς λογικοὺς εἰς συμπάθειαν τούτων ἕλκεσθαι. «Εἰ γάρ δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ», κατὰ τὸ γεγραμμένον, πῶς οὐκ οἰκτειρήσεις ταῦτα σὺ, ὁ τούτων Ποιητὴς καὶ Προνοητής; Σὺ γὰρ εὔσπλαγχνε, καὶ τῶν ἐν τῇ Κιβωτῷ ζώων ἐμνήσθης, ὑπὸ τῆς οἰκείας χρηστότητος καὶ τῶν οἰκτιρμῶν σου νικώμενος. Ἵνα διὰ τῆς εὐεξίας καὶ τοῦ πληθυσμοῦ τῶν βοῶν, καὶ τῶν λοιπῶν τετραπόδων ζώων, καλλιεργῆται μὲν ἡ γῆ, αὐξάνωσι δὲ οἱ καρποὶ, καὶ ἀφθόνως οἱ δοῦλοί σου οἱ ἐπικεκλημένοι τὸ ὄνομά μου, ἀπολαύωσι τῶν ἰδίων γεωργιῶν. Ἐκ τούτων δὲ, πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύωσιν εἰς πᾶν ἔργον ἀγαθόν. Καὶ δοξάζωσι μὲν, σὲ τὸν χορηγὸν παντὸς ἀγαθοῦ. Τιμῶσι δὲ κἀμὲ τὸν σὸν δοῦλον καὶ ἱκέτην θερμότατον τῆς Παντοκρατορικῆς βασιλείας σου· ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν. [1]

[1] Ὅρα καὶ εἰς τὴν δεκάτην ἕκτην τοῦ Δεκεμβρίου, ὅτε ἑορτάζεται ὁ ἅγιος Μόδεστος.

ΤΕΛΟΣ ΤΟΥ Α'. ΤΟΜΟΥ.

Digitized by Google

ΠΙΝΑΞ ΚΑΤΑ ΑΑΦΑΒΗΤΟΝ

ΤΩΝ ΕΝ ΤΩ ΠΡΩΤΩ ΤΟΥΤΩ ΤΟΜΩ ΤΟΥ ΣΥΝΑΞΑΡΙΣΤΟΥ

ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΑΞΙΟΜΝΗΜΟΝΕΥΤΩΝ.

A

Σελ.

Ἀββακοὺμ, τί δηλοῖ τὸ ὄνομα.—Οὐχ εἷς ἀλλὰ πολλοὶ Ἄγγελοι ἥρπασαν· ὑποσημ. 267

Ἀβδιοὺ τί σημαίνει, πότε ἤκμασε κτλ. 231—232

Ἀβδηβοὺλ υἱὸς Γαμαλιὴλ πότε ἐπίστευσε. 345

Ἀβίρκιος ὁ Ἱεραπόλεως βιβλίον συνέγραψεν ἄριστα. 152

Ἀβιμέλεχ πόσον ἐκοιμήθη, καὶ ποῦ. 191

Ἀβραὰμ ἐκ τῶν ὁρωμένων ἐγνώρισε τὸν ἀόρατον αὐτῶν Ποιητήν. 304

Ὑπήκουσεν ἀδιατάκτως. Προπάτωρ ἐστὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, αὐτόθι.

Ἀβραὰμ πῶς ὠνομάζετο· εἰς τὴν ὑποσημ. 323

Ἀγαθὰ οὐράνια οὐδεμίαν ὁμοιότητα ἔχουσι μὲ τὰ ἐπίγεια, σχηματίζονται ὅμως μὲ αὐτὰ κατὰ συγκατάβασιν, πρὸς παρηγορίαν τῶν ἀνθρώπων. Εἰς τὴν ὑποσημ. 33 καὶ 605

Ἀγάπη τοῦ Θεοῦ πρέπει νὰ προτιμᾶται τῆς φυσικῆς συγγενείας. Ἀγάπη τοῦ πλησίον προτιμοτέρα ἐστὶ τῆς νηστείας· εἰς τὴν ὑποσημ. 183

Ἀγάπης (περὶ) διήγησις πάνυ ὠφέλιμος. 25

Ἄγγαιος τί σημαίνει. 309

Ἄγγελοι πανταχοῦ ὁρῶσι. Εἰς τὴν ὑποσ. 147

Ἄγγελος τίνας ἁγίους ἔλυσε καὶ ἐποίησεν ὑγιεῖς. 483

Πολλοὺς ἥρπασαν καὶ ἔφερον εἰς ἄλλον τόπον. 157 καὶ 267

Ἰατρεύουσι τοὺς μάρτυρας. 166

Ποῖος συνωμίλει καθ' ἑκάστην μὲ τοὺς Ἀγγέλους. 238

Προϋπαντῶσι τὰς ψυχὰς τῶν μαρτύρων. 238

Τίνες ὑπὸ Ἀγγέλου μετελάμβανον. 268

Ἄγγελος ποῖον ἔτρεφε. 300

Ποῖος εἶχεν Ἄγγελον συγκάτοικον. 308

Ἅγιοι μετὰ βίαν λαμβάνουσι τὰ φιτίσματά των 284

Ἅγιος ποῖος νεκρὸς ὢν, ἐξήπλωσε τὰς χεῖράς του καὶ ἐπίασε τοὺς ὤμους τῶν ἱερέων καὶ σηκωθεὶς, περιεπάτησε τρία βήματα. 45

Ἅγιος τίς δὲν ἐβλέπετο ἐμέσως, ἀλλὰ μὲ παραπέτασμα. 132

Ἁγίου ὁ ἔχων πίστιν οὐ ταράττεται εἰς τὰς συμφοράς. 140

Ἅγιοι προφθάνουσιν εἰς διάφορα μέρη τοῦ κόσμου. Ψυχαὶ ἁγίων παντταχοῦ ὁρῶσιν· εἰς τὴν ὑποσημ. 147

Ἁγίοις λέοντες καὶ θηρία ὑπετάσσοντο. 456

Ἅγιοι καὶ μετὰ θάνατον τῆς τελειότητος ἐπεμελοῦντο· εἰς τὴν ὑποσημ. 486

Αἱ πρὸς τοὺς ἁγίους εὐεργεσίαι πόσα καλὰ προξενοῦσιν εἰς τοὺς εὐεργέτας. 490

Ποῖος εὐθὺς ἅμα ἐγεννήθη ἐστάθη κατ' ἀνατολὰς καὶ ἐπροσκύνησε. 499

Ποῖον ἡ Θεοτόκος ἐσκέπαζεν ἄνωθεν. 290

Ποῖος νεκρὸς ὢν, ἐσηκώθη καὶ ἔγραψε. 201

Ἅγιοι δὲν ἐνταφιάζονται μετὰ τῶν ἀμετανοήτων. 253

Οὔτε κάντα εἰς αὐτούς. 434

Ἀγρυπνία Χερουβικὸν ναῶν ἀποκτᾷ. 327

Καθαίρει τὸν ναὸν· εἰς τὴν ὑποσημ. 229

Αἷμα Χριστοῦ ὅπερ εἶχόν τινες, πόθεν ἦτο· 30

Ἰάσεις ἐποίει πολλὰς· εἰς τὴν ὑποσημ. 31

Αἴνους τοῦ ἁγίου Δημητρίου τίς ἐποίησεν· ἐν ὑποσημειώσει. 421

Ἀκόλαστος οὐκ ἐπὶ πορνείας μόνον λέγεται· εἰς τὴν ὑποσημ. 252

Ἀλληλούϊα, ποῖος εἶναι ὁ εὑρετής· ὑποσημ. 309

Καὶ ὁ Δαβὶδ αὐτὸ γράφει· αὐτόθι.

Ἀκρίδες τὰ ζωΰφια, καθαρά ἐστι, καὶ τρώγονται παρὰ τῶν βουλομένων· εἰς τὴν ὑποσ. 79

Ἀλύσεις ἔχων εἰς τὸν λαιμὸν καὶ εἰς τοὺς πόδας, ποῖος ἅγιος παρήγγειλε νὰ ἐνταφιασθῇ. 43

Ἁμαρτία μὲ τί ὁμοιάζει. 497

Ἄκρυα χρειάζεται διὰ νὰ ἀποπλυνθῇ. 497

Ἁμαρτωλοὶ δὲν πρέπει νὰ ἀπελπίζωνται· εἰς τὴν ὑποσημ. 413

Ἀμβρόσιος ὁ Μεδιολάνων οὐ παρ' ἀνθρώπων ἐδιδάχθη τὸ Εὐαγγέλιον· εἰς τὴν ὑποσημ. 279

Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ τρεῖς εἶναι αἱ συζυγίαι. 137

Πρέπει οἱ ζωγράφοι νὰ τοὺς ἱστορῶσι διαφορετικοὺς, καὶ νὰ ἐπιγράφωσι ποία συζυγία εἶναι· εἰς τὴν ὑποσημ. 138

Ἀνδρόγυνα ποῖα ἔγειναν μοναχοί. 101 καὶ 115

Ἀνδρόγυνον ποῖον ἔζη ἐν παρθενίᾳ. 228 καὶ 238

Ἀνθύπατος ποῖος λέγεται· εἰς τὴν ὑποσημ. 72

Ἄννα ἡ μήτηρ τῆς Θεοτόκου θεία ἦτο τῆς Ἐλισάβετ. 25

Τίνος τὴν στείρωσιν ἔλυσε καὶ θυγατέρα ἐχάρισε. 351

Ἄννα ἡ τοῦ Ἐλκανὰ πόσα παιδία ἐγέννησε. 285

Ἀντώνιος πόθεν εἶδε τὴν ψυχὴν τοῦ Ἀμμοῦν

Digitized by Google

σελ.

ἀναφερομένην εἰς οὐρανόν· εἰς τὴν ὑποσημ. 101
Ἀντωνίου θαυμαστὸς ἔπαινος ποῖος εἶναι—Διατί ἐμεγαλύνθη τὸ ὄνομα αὐτοῦ—Δὲν ἐφοβεῖτο τὸν Θεὸν, ἀλλ' ἠγάπα αὐτὸν—Ἀπὸ τῆς ἑορτῆς αὐτοῦ ἀνεχώρουν οἱ πατέρες εἰς τὴν ἔρημον. ἐν ὑποσημ. 385
Ἀπελλῆς ὁ Ἀπόστολος, ἄλλος ἦτον ἀπὸ τὸν γεγονότα Ἐπίσκοπον Θράκης. 31
Ἀπογραφαὶ ἐπὶ Αὐγούστου δύω ἔγειναν—ὁποῖαι εἶναι.—Διατί οἱ ἐξωτερικοὶ δὲν ἀναφέρουσι περὶ αὐτῶν· ἐν ὑποσημ. 337
Ἀποκάλυψις Ἰωάννου εἶναι τὸ δυσκολώτερον βιβλίον τοῦ κόσμου καὶ σκοτεινότατον.—Ποῦ καὶ πότε ἐγράφη, εἰς τὴν ὑποσημ. 73
Ἀπόστολοι δώδεκα δρύες εἶσι. 126
Ἀσπιδοχελώνη τί εἶναι. εἰς τὴν ὑποσ. 57
Ἄσφαλτος εἰ εἶναι· εἰς τὴν ὑποσημ. 49
Ἀστέριος Κύρου τί ἦτο. εἰς τὴν ὑποσημ. 141
Αὐτόκλητοι ποῖοι ὑπῆγαν εἰς τὸ μαρτύριον. 146 καὶ 215
Ἀρετὴν δὲν πρέπει νὰ δεικνύωμεν εἰς τοὺς ἀνθρώπους. εἰς τὴν ὑποσημ. 183
Ἀρνησιχρίστων μαρτύρων (διὰ τὴν δόξαν τῶν) οὐδεὶς πρέπει νὰ διστάζῃ. 293
Ἀρίσταρχος ἀπόστολος, ἄλλος δεύτερος Ἰωάννης ἦν κατὰ τὴν τροφήν. 79
Ἀρμένιοι διατί ὠνομάσθησαν Καθολικοί. εἰς τὴν ὑποσημ. 88
Ἀπὸ ποῖον ἐχειροτονεῖτο ὁ Ἀρμενίας Ἐπίσκοπος· αὐτόθι.
Ἀρχιερωσύνης χάρισμα πότε πρέπει νὰ λαμβάνῃ τίς. 166
Ἀσθενὴς καὶ εὐχαριστῶν, πρῶτον τάγμα εἶναι ἐν τῷ οὐρανῷ· εἰς τὴν ὑποσημ. 153
Ἀγαθῶν τῶν οὐρανίων τὴν στέρησιν ποῖος ἔκλαιε πάντοτε. ἐν ὑποσημ. 470
Τίς ἔλεγεν ὑποκριτικῶς ὅτι εἶναι ἄγγελος Θεοῦ. 486
Ἀδριανὸς τί ἦτο. 389
Αἰλεμ τί σημαίνει· ἐν ὑποσ. 363
Αἱρετικοὶ πρέπει διὰ βασιλικῆς διαταγῆς νὰ διώκωνται ἀπὸ τὴν ὁποίαν ἐχουσιν ἐξουσίαν. 480
Ἀπόστολοι οἱ μετὰ τοὺς δώδεκα διατί λέγονται ἄντες ἑβδομήκοντα.—Καὶ περισσότεροι τῶν ἑβδομήκοντα εἶναι· ἐν ὑποσημ. 362
Ἄρτους τίς ἐλάμβανε παρὰ θείου Ἀγγέλου ὅτε ἠσύχαζε καὶ ἦτο μόνος. 366
Ἄρτον τίς οὐκ ἔφαγεν εἰς τριάκοντα χρόνους. 376
Ἀσκηταὶ καὶ ἄλλοι ἦσαν σύγχρονοι τοῦ Ἀντωνίου καὶ Παύλου τοῦ Θηβαίου ἐν τῷ Σινᾷ. εἰς τὴν ὑποσημ. 380

B

Βαβὼν τί φωνὴ εἶναι, καὶ τί σημαίνει· εἰς τὴν ὑποσημ. 116
Βαλσάμου φυτὸν τί εἶναι καὶ τί ἰδιώματα ἔχει εἰς τὴν ὑποσημ. 340
Βαλτάσαρ τί σημαίνει. 313
Βάπτισμα ποῖος θέλων νὰ ἐμπαίξῃ, ἐβαπτίσθη καὶ ἐμαρτύρησε. 45 καὶ 484
Βάπτισμα, διὰ θαύματος ὁ Κύριος οἰκονόμει εἰς τοὺς μάρτυρας, ἵνα μὴ ἀπέλθωσιν ἀβάπτιστοι. 86
Τὸ τῶν αἱρετικῶν καὶ σχισματικῶν εἶναι ἄδεκτον· εἰς τὴν ὑποσημ. 167
Τὸ τοῦ Ἀρείου ἄδεκτόν ἐστι. 280
Βαπτισθεὶς ὁ Χριστὸς διατί ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος.—Ὅλην τὴν φύσιν τῶν ὑδάτων ἡγίασεν.—Διατί τὸ τοῦ Ἰωάννου ἔλαβε βάπτισμα.—Εἰς μίαν κατάδυσιν τοῦτο ἐγίνετο καὶ γέφυρα ἦτο μεταξὺ τοῦ Ἰουδαϊκοῦ καὶ τοῦ ἡμετέρου. εἰς τὴν ὑποσημ. 367—368
Βάπτισμα τὸ ἡμέτερον χρεωστοῦμεν νὰ φυλάττωμεν καθαρόν. 368
Βαρθολομαῖος ποῖον Εὐαγγέλιον ἰδιοχείρως ἔγραψε· εἰς τὴν ὑποσημ. 225
Βαροὺχ προφήτης ἦτο. 81
Τὸ βιβλίον αὐτοῦ οὐ χωρίζεται ἀπὸ τὸ τοῦ Ἱερεμίου· εἰς τὴν ὑποσημ. 80 καὶ 81
Τί εἶχεν αὐτὸν ὁ Ἱερεμίας· αὐτόθι.
Δὲν ἔμεινεν εἰς Ἱερουσαλὴμ, ἀλλ' ἐκατέβη εἰς Αἴγυπτον καὶ ἐκεῖθεν ὑπῆγεν εἰς Βαβυλῶνα· εἰς τὴν ὑποσημ. 81 καὶ 491
Βασανιστήρια πολλοὶ μάρτυρες δὲν ἠσθάνοντο 16
Βασιλικὴν ὁδὸν πρέπει τίς νὰ πορεύεται. εἰς τὴν ὑποσημ. 350
Βασιλικὸς διατί παραλαμβάνεται εἰς τὸν διὰ τοῦ Σταυροῦ γινόμενον μικρὸν καὶ μέγαν Ἁγιασμόν. εἰς τὴν ὑποσημ. 41
Βασιλεὺς ὁ παραβαίνων τοὺς ὅρκους καὶ τὰς συνθήκας πρέπει νὰ διώκεται ἔξω ἀπὸ τὴν ἐκκλησίαν. 43
Τί πρέπει νὰ συλλογίζεται διὰ νὰ εὐχαριστήσῃ τὸν Κύριον. 42
Ποῖος βασιλεὺς ἐφθόνει νὰ μὴ μαρτυρῶσιν οἱ χριστιανοὶ εἰς τὴν ὑποσημ. 124
Βασιλεὺς ποῖος, καὶ βασίλισσα ὑπῆγον μένοι εἰς τὴν δούλην αὐτῶν. 165
Βασιλεὺς τίς τίνος ἐσκέπαζε τὸ λείψανον διὰ τῆς χλαμύδος. 418
Βήματος ἐντὸς ποῖος βασιλεὺς ἐθανατώθη. εἰς τὴν ὑποσημ. 342
Βίᾳ τίς τι πράττων καὶ παρὰ γνώμην, οὐχ ἁμαρτάνει. 350
Βιαζαὶ τῶν γυναικῶν, πῶς θρέφθεν παιδεύονται. 214
Βιβλιοθήκην ἀξιόλογον τίς κατεσκεύασε· εἰς τὴν ὑποσημ. 296
Βιβλίον διαφέρει ἀπὸ τὸ βυβλίον. Διάφορόν ἐστιν· εἰς τὴν ὑποσημ. 79
Βιβλίον Γραφῆς ποῖαν ἦτο· εἰς τρεῖς στύλους μοιρασμένον. 132

Digitized by Google

σελ.

Βιβλίον συνέγραψεν ὁ Ἰώσηπος. 175
Βιβλίον πολλὰ ὠφέλιμον Ἰακώβου συνέγραψεν ὁ Μυγδονίας. 178
Βιβλίον τὸ ὀνομαζόμενον Ποιμὴν, καὶ Ἐκκλησία, καὶ δέκα παραβολαὶ, τί ἦτο καὶ τίνος εἰς τὴν ὑποσημ. 194
Βιβλίον Εὔρου Ἐφραὶμ, ποῖος ἀναγνοὺς κατενύχθη. 343
Βιβλίον ποῖος προφήτης εἶχε, τὸ ὁποῖον τῶρα δὲν εὑρίσκεται εἰς τὴν γ'. ὑποσημ. 372
Βουλγαρίας πρῶτοι φωτισταὶ ποῖοι εἶναι 332
Οἱ εἰς τὴν Βουλγαρικὴν γλῶσσαν μεταγλωττίσαντες τὴν θείαν Γραφὴν, ποῖοι εἶναι. Ποία λέγεται Βουλγαρία. 242 καὶ 332
Βούλγαροι πόθεν ὠνοράσθησαν. Βουλγάρων βασιλεὺς πρῶτος χριστιανὸς, τίς ἦτο αὐτόθι.
Βούλγαροι πολλοὺς χριστιανοὺς καὶ ἀρχιερεῖς ἐθανάτωσαν. 403
Βρεφοκτονίαν τοῦ Ἡρώδου ποῖος ἐξωτερικὸς ἀναφέρει. Διατὶ δὲν ἀναφέρει αὐτὴν ὁ Ἰώσηπος εἰς τὴν ὑποσημ. 349
Βύσσος; τί εἶναι. εἰς τὴν ὑποσημ. 419

Γ

Γαβριὴλ ὁ Ἀρχάγγελος διατί ἑορτάζεται κατὰ τὴν ἡ. τοῦ Νοεμβρίου. 203
Πότε ἐφάνη εἰς τὸν Ζαχαρίαν. ὑποσημ. 18
Γάλα ἀπὸ ποίους μάρτυρας ἐξῆλθεν ἀντὶ αἵματος. 159. 240 καὶ 320
Γαλιλαίους διατί ὁ παραβάτης Ἰουλιανὸς ὠνόμαζε τοὺς χριστιανούς. 258—259
Γαμαλιὴλ πότε ἐπίστευσε. 345
Γέννησις Χριστοῦ εἰς τινας μόνον τόπους δὲν ἑωρτάζετο κατὰ τὴν κε'. τοῦ Δεκεμβρίου. Ἀπὸ δὲ τοῦ Χρυσοστόμου ἤρχισε νὰ ἑορτάζεται ἐν Ἀντιοχείᾳ. ὑποσημ. 308
Γέρων ζῶν ὁ δήσας, αὐτὸς πρέπει καὶ νὰ λύῃ καὶ οὐκ ἄλλος. Ἐὰν δὲ αὐτὸς ἀποθάνῃ, δύναται καὶ Ἀρχιερεὺς νὰ λύῃ τὸν δεσμευθέντα. 134
Γεώργιος ὁ μεγαλομάρτυς ποῦ ἐμαρτύρησε. εἰς τὴν ὑποσημ. 184
Γλώσσης ὁ κρατῶν πανταχοῦ ξένος εἶναι εἰς τὴν ὑποσημ. 229
Μετὰ τὴν ἐκκοπὴν τῆς γλώσσης, ποῖοι ἐλάλουν. εἰς τὴν ὑποσημ. 231 καὶ 280
Γοργοϋπήκοος ποία εἰκὼν τῆς Θεοτόκου ὀνομάζεται, καὶ ποῖα θαύματα ποιεῖ εἰς τὴν ὑποσημ. 209
Γραμμάτων Σλαβονικῶν τίς εὗρε χαρακτῆρας καθαρωτέρους. 244
Γραπτοὶ τί εἶδον ὅτε ἐχαράχθησαν εἰς τὰ μέτωπα. Τίνος ἄγγ. μαθηταὶ εἰς τὰ ὑποσ. 345
Γρηγόριος Ἀρμενίας πόσους ἐβάπτισε εἰς τὴν ὑποσημ. 88
Γρηγόριος Νεοκαισαρείας ποῖον μυστήριον τῆς Θεολογίας ἐδιδάχθη εἰς τὴν ὑποσημ. 226
Δεύτερος Μωσῆς ἐλέγετο. Ἀσκητὴς ἐπροσεύχετο εἰς τὴν ὑποσημ. 227
Γυναῖκες μάρτυρες εἰς πορνοστάσιον δοθεῖσαι, ἐφυλάχθησαν ἀμόλυντοι. 103
Γυναῖκες οὐδὲ ἀναστεναγμὸν ψιλὸν ἐξέβαλαν. 30
Διὰ καταισχύνην ξυρίζονται τὰς τρίχας τῆς κεφαλῆς. Καὶ πάλιν μαλλία ἐκβάλλουσιν. 102
Γυναῖκες ποῖαι ἐφόρεσαν ἀνδρίκεια. 32, 65, 112
115, 170, 205, 306, καὶ 334
Γυναῖκες αἱ πλύνουσαι μὲ ἀναίσχυντα σχήματα πῶς τιμωροῦνται. 376
Γυνὴ ἀκάθαρτος πόσον φαίνεται βρωμερὰ εἰς τὰς ἁγίας. 399
Γυναῖκες ὅσιαι ποῖαι ἐφόρουν βαρέα σίδηρα. —Μεγαλώτατα ἐνδύματα πρέπει νὰ ἔχωσιν, ὥστε νὰ σκεπάζωσι καὶ τοὺς πόδας των. 488
Γυνὴ ποῖα γυμνωθεῖσα διὰ τὸν Χριστὸν, τὴν ἀτιμίαν ταύτην ὡς τιμὴν ἐνόμιζε. 171—172
Γένειον τίς δὲν εἶχε διὰ τὴν ὑπερβολὴν τῶν ἀσκητικῶν κόπων. 393
Γέροντες; ποῖοι ὄντες μετεχειρίζοντο τοὺς τῶν νέων ἀγῶνας. 476
Γεωργοὺς ὁ τυραννικῶς ζημιῶν καὶ ἁφαιρῶν τοὺς καρποὺς αὐτῶν πῶς τιμωρεῖται. εἰς ὑποσ. 406

Δ

Δαβὶδ πότε ἤλεγξεν ὁ Νάθαν. 344
Δαίμων ἐμποδίζεται ἀπὸ τὴν δύναμιν τῶν μαρτυρικῶν λειψάνων. εἰς τὴν ὑποσημ. 12
Πόθεν λαμβάνει ἀφορμὴν νὰ φονεύῃ. 58
Βιαζόμενος, λέγει τὴν ἀλήθειαν. 70
Δαιμόνων νίκη, ἐπιστροφὴ γίνεται ἄλλων εἰς πίστιν. 93
Δαίμονες δὲν ἔχουν ὅλοι ἐπίσης τὴν μελανίαν. —Τὰ δεξιὰ αὐτῶν εἶναι τελείως κατάψυχρα. 104
Δαίμων ἀναγκαζόμενος, ὁμολογεῖ φανερὰ τὴν κακίαν του.-Σηκόνει πέτραν μεγαλωτάτην. 152
Δαίμων ποῖον ἠπάτησε, φανεὶς ὡς γυνή. 156
Τίνος ὁσίου ἔχυνε τὸ νερὸν, καὶ δὲν τὸ ἄφινε νὰ πίῃ. 254
Πόσας μηχανὰς μετεχειρίσθη διὰ νὰ ἐκβάλῃ ἕνα ἀπὸ τὴν καλύβην του· εἰς ὑποσημ. 256
Ὅπου ὁ ἄνθρωπος ὑπάγει, ὁ δαίμων προλαμβάνει καὶ ὑπάγει ἔμπροσθέν του· εἰς τὴν ὑποσημ. 33
Δαίμονες μὲ ποίαν ἀρετὴν ἐξέρχονται ἀπὸ τοὺς ἀνθρώπους. Νικητὴς τούτων ποία ἀρετὴ εἶναι· εἰς τὴν ὑποσημ. 33
Δαίμων ἐμπόδισε τὸν Νάθαν διὰ νὰ μὴ ἐμποδίσῃ τὸν Δαβὶδ ἀπὸ τὴν ἁμαρτίαν. 343
Δαιμόνων τάγματα δύο εἶναι, καὶ ποῖα. 391
Δαίμων πότε εὑρίσκει χώραν καὶ ἐνεργεῖ ὑποσημ. αὐτόθι.
Δαίμονες ποῖον πειράζοντες ἐξερρίζωσαν 500

Digitized by Google

σελ.

Ἄνδρα. 485
Διάβολος εἰς τὰ μικρὰ νικῶν ἢ νικώμενος, τί γίνεται. 405
Δανιὴλ διατί δὲν ἐβλήθη εἰς τὴν κάμινον ὁμοῦ μὲ τοὺς τρεῖς Παῖδας. 313
Μόνος αὐτὸς προεῖπεν εἰς πόσους χρόνους ὡρισμένως θὰ ἔλθῃ καὶ θὰ σταυρωθῇ ὁ Χριστός.—Ἡ εἰς τὸν Δανιὴλ νῦν σωζομένη μεταγλώττισις οὐκ ἔστιν ἐκ τοῦ Θεοδοτίωνος, ἀλλ' αὐτὴ ἐστιν ἡ τῶν ἑβδομήκοντα· εἰς τὴν ὑποσημ. 314
Δημητρίου ἁγίου Λίνους τίς ἐποίησε· εἰς ὑποσ. 121
Εἰκὼν αὐτοῦ μετετέθη ἀπὸ Θεσσαλονίκης εἰς Κωνσταντινούπολιν. 162
Δελφῖνες τίνων ἁγίων λείψανα ἐξέβαλον εἰς τὴν παραθαλασσίαν. 132 καὶ 303
Διάκονος γυνὴ θαυμασία. 177
Διηγέλλιον τίνος ἐποίει θαύματα. 112
Διονύσιος ὁ Ἀρεοπαγίτης ἐπιστέλλων τῷ Θεολόγῳ, προφητεύει τὴν ἀπὸ τῆς Πάτμου λύτρωσίν του. 72
Τὰ συγγράμματα αὐτοῦ γνήσια εἰσὶ, καὶ ἀκρίτως διαβάλλονται ὡς ὑστερόπλαστα· εἰς τὴν ὑποσημ. 95
Ποιμὴν ποιμένων καὶ Παύλῳ παραπλήσιος ὀνομάζεται. 95
Ποῦ καὶ πῶς ἐτελείωσεν. Διηγεῖται πόσην φιλανθρωπίαν δεικνύει ὁ Θεὸς εἰς τοὺς ἁμαρτωλούς. 96
Λείψανον αὐτοῦ ποῦ εὑρίσκετο. Καὶ ἡ κάρα αὐτοῦ. εἰς τὴν ὑποσημ. 97
Διονύσιος ὁ ἐν Κορίνθῳ ἀκτὼ ἐπιστολὰς ἔπεμψε. εἰς τὴν ὑποσημ. 261
Δόξαν ἀνθρωπίνην οἱ φεύγοντες, φεύγουσι καὶ ἀπὸ τὴν οἰκίαν αὐτῶν. 229
Δοῦλαι δὲν πρέπει διὰ τὴν δουλείαν νὰ κλίνωσιν εἰς τὴν ἀσέβειαν. 50
Δοῦλοι ἐχθροὶ εἶναι εἰς τοὺς αὐθέντας των. 305
Δεκέμβριος τί ὄνομα εἶναι. εἰς τὴν ὑποσημ. 265
Δοφσικὸν μοναστήριον τίς ἔκτισε. 46
Δράκων τίνα ἐπολέμησε. 289
Δρέκοντας ποῖοι ἐθανάτωσαν. 465 καὶ 467
Διδάσκειν πότε χρή. εἰς τὴν ὑποσημ. 422
Δικαιοσύνη ποῖα ὀνομάζεται 367
Δοῦλος Θεοῦ τίς εἶναι. εἰς τὴν ὑποσημ. 422

Ε

Ἑβραῖοι πόθεν ὠνομάσθησαν. Ἑβρῆς ποῖος ἐλέγετο, καὶ τί θὰ εἴπῃ. 323
Ἐγκώμια εἰς τὸν ἱερομάρτυρα Βενιαμίν. ὑποσ.
Εἰς τὸν ὅσιον Ἀβράμιον. εἰς τὴν ὑποσ.
Εἰς τὸν μέγαν Γεώργιον εἰς τὴν ὑποσ.
Εἰς τοὺς δύω Ἀρχαγγέλους. εἰς τὴν ὑποσ.
Εἰς τὸν ἅγιον Στέφανον. εἰς τὴν ὑποσημ.
Εἰς τὴν ἁγίαν Αἰκατερίναν· εἰς τὴν ὑποσημ.
Εἰς τὸν ἅγιον Νικόλαον· εἰς τὴν ὑποσημ.

σελ.

Εἰς τὴν σύλληψιν τῆς ἁγίας Ἄννης· ὑποσημ.
Εἰς τὸν ἅγιον Διονύσιον τὸν ἐκ Ζακύνθου· εἰς τὴν ὑποσημ.
Εἰς τὸν Προφήτην Ζαχαρίαν τὸν πατέρα τοῦ Προδρόμου· εἰς τὴν ὑποσημ.
Εἰς τὴν Γέννησιν τῆς Θεοτόκου· ὑπ.
Εἰς τὸν Ἰωακεὶμ καὶ τὴν Ἄνναν· ὑποσημ.
Εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ· εἰς τὴν ὑποσ.
Εἰς τὴν Σύλληψιν τοῦ Προδρόμου· ὑποσημ.
Εἰς τὸν Θεολόγον Ἰωάννην· εἰς τὴν ὑποσημ.
Εἰς τὸν Κυπριανόν· εἰς τὴν ὑποσημ.
Εἰς τὸν Ἀρεοπαγίτην· ὑποσημ.
Εἰς τὸν Ἱερόθεον· εἰς τὴν ὑποσημ.
Εἰς τὸν Θωμᾶν· εἰς τὴν ὑποσημ.
Εἰς τὴν Πελαγίαν· εἰς τὴν ὑποσημ.
Εἰς τὸν Λουκᾶν· εἰς τὴν ὑποσημ.
Εἰς τὴν ἁγίαν Ματρώναν· ὑποσημ.
Εἰς τὸν Ἀδελφόθεον Ἰάκωβον· ὑποσημ.
Εἰς τὸν Δημήτριον· εἰς τὴν ὑποσημ.
Εἰς τοὺς Ἀναργύρους· εἰς τὴν ὑποσημ.
Εἰς τὴν Ἀνακομιδὴν τῶν λειψάνων τοῦ ἁγίου Γεωργίου· εἰς τὴν ὑποσημ.
Εἰς τοὺς Ἀρχαγγέλους· εἰς τὴν ὑποσημ.
Εἰς τὸν Ἀπόστολον Φίλιππον· ὑποσημ.
Εἰς τὸν Ματθαῖον· εἰς τὴν ὑποσημ.
Εἰς τὸν Ἀπόστολον Ἀνδρέαν ὑποσημ.
Εἰς τὴν Σύλληψιν τῆς ἁγίας Ἄννης· ὑποσημ.
Εἰς τὴν παραμονὴν τῶν Χριστοῦ γεννῶν εἰς ὑποσ.
Εἰς τὴν γέννησιν τοῦ Κυρίου. ὑποσ.
Εἰς τὴν σύναξιν τῆς Θεοτόκου. ὑποσ.
Εἰς τὴν Κυριακὴν μετὰ τὴν Χριστοῦ γέννησιν. ὑπ.
Εἰς τὰ Νήπια. εἰς τὴν ὑποσημ.
Εἰς τὴν ὁσιομάρτυρα Ἀνυσίαν. ὑποσ.
Εἰς τὸν Σίμωνα τὸν μυροβλύτην. ὑποσ.
Εἰς τὴν Δομνίναν καὶ Βερίνην καὶ Προσδόκην. ὑπ.
Εἰς τὴν μάρτυρα Πελαγίαν. ὑποσ.
Εἰς τὸν μεγαλομάρτυρα Ῥωμανόν. ὑποσημ.
Εἰς τὸν Ἰγνάτιον.
Εἰς τὸν Φιλογόνιον.
Εἰς Ἰουβεντῖνον καὶ Μάξιμον. ὑποσημ.
Εἰς τὸν ἱερομάρτυρα Λουκιανόν. ὑποσημ.
Εἰς τὸν μεγ. Βασίλειον τὴν ὑποσημ.
Εἰς τὸν Γόρδιον. ὑποσημ.
Εἰς τὴν παραμονὴν τῶν Φώτων. ὑποσημ.
Εἰς τὰ Θεοφάνεια. ὑποσημ.
Εἰς τὰ μεθέορτα τῶν Φώτων. ὑποσημ.
Εἰς τὸν Νύσσης Γρηγόριον, ὑποσημ.
Εἰς τὴν ἄλυσιν τοῦ Πέτρου. ὑποσημ.
Εἰς τὸν Ἀθανάσιον. ὑποσημ.
Εἰς τὴν ἀνακομιδὴν τοῦ λειψ. Χρυσοστόμου. ὑποσ.
Εἰς τοὺς τρεῖς ἱεράρχας. ὑποσημ.
Εἰς τὴν ὑπαπαντὴν τὴν ὑποσημ.
Εἰς τὸν Ἀντιοχείας Μελέτιον. ὑποσημ.
Εἰς τὸν Λουκᾶν τὸν ἐν τῷ Στειρίῳ. ὑποσημ.
Ἔθνη ποῖα ἐπίστευσαν εἰς τὸν Χριστὸν διὰ τὴν βασιλείαν τῶν Ῥωμαίων., ὑποσημ. 166

Digitized by Google

σελ.

Εἰκόνες Χριστοῦ ποῖαι κεντηθεῖσαι εἰς τὴν πλευρὰν, ἔρρευσαν αἷμα. ὑποσημ. 30
Εἰρήνη θεία πῶς ὀνομάζεται. ὑποσημ. 475
Ἐργόχειρον τίς προσετάχθη νὰ ἐργάζηται καὶ παρ' ἄλλων νὰ μὴ λαμβάνῃ τὰ πρὸς τὴν χρείαν. 366
Ἐρήμου εἰς τὰ βαθύτερα τίς πρῶτος ἐπροχώρησε. 382
Εὐχὰς παρὰ πάντων τῶν προσερχομένων ποῖος ὅσιος ἐζήτει νὰ λαμβάνῃ. εἰς τὴν 6'. ὑποσ. 477
Ἑκατονταπυλιανὴ, ναὸς τῆς Θεοτόκου ἐν Πάρῳ περιώνυμος. ὑποσ. 206
Ἐκδίκησιν ποῖος εἰς τὸν κακοποιήσαντα δὲν ἔκαμεν. 312 καὶ 316
Ἐκκλησίᾳ τῇ καθολικῇ οἱ μὴ κοινωνοῦντες τί παθαίνουσι. 98
Ἐκκλησία Μεγάλη διατί λέγεται τὸ Πατριαρχεῖον τῆς Κωνσταντινουπόλεως. ὑποσ. 25
Ἐκκλησία βιβλίον, τί εἶναι ὑποσ. 194
Ἐλεημοσύνη κτίζει παλάτια ἐν οὐρανοῖς. 109
Αὕτη κάμνη νικητὰς ἐν πολέμῳ. 218
Δι' αὐτὴν τὶς μετέβαλε περιστερὰν εἰς χρυσόν. Τὶς δι' αὐτὴν ἔκοπτε τὸ φόρεμά του καὶ τὸ ἔδιδεν εἰς τοὺς πτωχούς. 219
Ἐλεήμων κἂν πτωχεύσῃ, πάλιν πλουτίζει 266
Ἔλευσις ἡ τιμωρία λέγεται. ὑποσημ. 76
Ἑλληνισταὶ ποῖοι ἐλέγοντο. ὑποσ. 344
Ἐλισάβετ πρωτεξαδέλφη ἦτο τῆς Θεοτόκου. 25
Ἐξομολογήτεως προσευχὴν, κρείττονα παντὸς ἐπαίνου, τίς ἔγραψεν. ὑποσημ. 336
Ἑορταὶ πόσαι καὶ τίνες. ὑποσ. 338
Ἑπτὰ πῶς ἐννοεῖται. ὑποσ. 285
Εὐαγγέλιον Ἰωάννου τὸ ἰδιόχειρον, ποῦ ἐφυλάττετο. ὑποσημ. 73
Εὐαγγέλιον ποῖα ἁγία ἐβάσταζεν ἐπάνω της ὑπ. 238
Τὸ κατὰ Ματθαῖον πότε συνεγράφη. ὑποσ. 225
Εὐεργέτας δὲν πρέπει νὰ προδίδῃ τις, καὶ ἂν κινδυνεύῃ νὰ ἀποθάνῃ. 69
Εὐθυμίου βίον τίς συνέγραψεν. 82
Εὐνοῦχος, ὃν ἐβάπτισε Φίλιππος, ποῦ ἐκήρυξε καὶ τί ἐχρημάτισε· ὑποσημ. 120
Εὔχεσθαι οὐ χρὴ συμβολικῶς, καὶ διὰ σημείων τὸ μέλλον μαθεῖν· ὑποσημ. 297
Εὐωδίαν μύρου τίνος αἱ σάρκες ἀνέδωσαν. 159
Ἀπὸ τίνος ἁγίου τόπον, ἐν ᾧ ἵστατο, εὐωδία ἐξήρχετο. 342
Ἐφοὺδ τί εἶναι· ὑποσημ. 285
Ἕως ἔρχομαι τί πρὸς σέ; πῶς ἑρμηνεύεται. 75

Ζ

Ζαχαρίας διατί ἐφονεύθη.—Διατί ὀνομάζεται ἱερεύς.—Πότε εἶδε τὸν Γαβριήλ. — Θῦμα παρθενίας φημίζεται. — Ἀρχιερεὺς ἦν. 18
Τίνι τρόπῳ ἔπεισε τὸν λαὸν καὶ ἐστερέωσαν νὰ ἔμβῃ ἡ Θεοτόκος εἰς τὰ Ἅγια τῶν Ἁγίων· ὑποσημ. 237
Ζηνᾶς ὁ νομικὸς τίνος βίον ἔγραψεν. ὑποσ. 79
Ζώνας στρατιωτικὰς ποῖοι μάρτυρες εἰς τὸ πρόσωπον τοῦ ἄρχοντος ἔρριψαν. 21
Ζώων ἀλόγων ἀσθενείας τίς ἅγιος ἰάτρευε. 465

Η

Ἤλοι Χριστοῦ ποῦ ἐτέθησαν, καὶ πόσοι ἦσαν ὑπ. 40
Ἡσυχάζων μόνος ἐν τῇ ἐρήμῳ, τρίτον τάγμα εἶναι ἐν τῷ οὐρανῷ, ὑποσ. 153
Ἡσυχία τί εἶναι καὶ ποία εἶναι ἡ ὠφέλειά της αὐτόθι.
Φέρει τὸ πένθος, 229
Ἥλιον ποῖος ἔστησε. 469
Ἡμίονοι ποῦ ἐφώναξαν μὲ ἀνθρωπίνην φωνήν, 355

Θ

Θαυμάτων χάριν πότε λαμβάνει τις. 166
Θαῦμα πρῶτον διατί λέγεται τὸ ἐν Κανᾷ γεγονός. ὑποσ. 340
Θαύματα πρὸ τῆς ἀναδείξεως τοῦ Κυρίου τίνα. αὐτόθι.
Θεόδωρος ὁ Στουδίτης τί ἀξιομνημόνευτον ἔργον ἐποίησε. Τί λόγιον τοῦ Δαβὶδ εἶχεν εἰς τὸ στόμα του ὅταν ἐψυχορράγει. Ποῖα τροπάρια συνέγραψεν. ὑποσ. 217
Θεὸς πῶς καθ' ἑκάστην φθέγγεται καὶ διδάσκει ἡμᾶς· ὑποσημ. 183
Θεὸς ἐπίγειος σκέπων τὰ ἐλαττώματα ἅπερ ἔβλεπε, ποῖος ἔγεινε. ὑποσ. 392
Ἐὰν αὐτὸς δὲν ἀνοίξῃ πύλας πόλεως οἱ ἐχθροὶ δὲν ἐμβαίνουσιν εἰς αὐτήν. 190
Εἷς ἐστι. 239
Θεοσέβεια βδέλυγμα εἶναι εἰς τὸν ἁμαρτωλόν. 305
Θεοτόκου εἰκὼν ἐν τοῖς Κύρου, ποῦ ἦτο κεκρυμμένη· ὑποσημ. 91
Θεοτόκου παράκλησις λυτρόνει ἀπὸ κίνδυνον. 247
Θεοτόκος φανεῖσα, προστάζει τὸν γέροντα τοῦ Δαμασκηνοῦ, διὰ νὰ τὸν παρακινήσῃ νὰ συγγράφῃ. 273
Συνελήφθη ἐκ σπέρματος τοῦ Ἰωακεὶμ, καὶ ἐγεννήθη τελείων ἐννέα μηνῶν. 283
Θεοτόκου φυγὴς εἰς Αἴγυπτον μνήμη μόνον γίνεται ἐν τῷ Συναξαριστῇ, καὶ οὐχὶ καὶ τῆς ἡμέρας καθ' ἣν ἔφυγε· ὑποσημ. 339
Καὶ μετὰ τόκον ἐβλήθη ἐν τῇ χώρᾳ τῶν παρθένων· ὑποσημ. 18
Θηρία τίνα ἐπροσκύνουν. 296
Μετὰ τῶν θηρίων τίς ἐκατοίκει ἀβλαβής. 300
Εἰς τίνος τοὺς πόδας ἐκυλίοντο ὡς πρόβατα. 352
Θησαυρὸν ποία εὑροῦσα, παρεκάλεσεν ἵνα ἀφανισθῇ. 449
Θυσιαστήριον τοῦ θυμιάματος, ποῦ εὑρίσκετο ὑπ. 19
Θεοδόσιος ὁ μέγας θαῦμα ἐνέφηνε.—Διὰ ποῖα πράγματα εὐτύχησε.—Ἔγραψεν ἰδιοχείρως τὰ ἅγια Εὐαγγέλια.—Τί λόγον συχνάκις ἔλεγε. 387
Θλίψεις μακραὶ ἐλαττοῦσι τὰς μεγάλας. 485

Digitized by Google

σελ.

Ι

Ἰάκωβος διατί λέγεται ἀδελφόθεος. Ἐλέγετο Ὀβλίας. 154
Διὰ τὸν θάνατον αὐτοῦ ἠκολούθησαν αἱ δυστυχίαι εἰς τοὺς Ἰουδαίους. ὑποσ. αὐτόθι.
Ἰαμβικοὺς στίχους τῶν Γραπτῶν ποῖος ἐσύνθεσε, καὶ ὁποῖοι εἶναι. ὑποσ. 345
Ἴβηρες, ἤτοι Γιουρτζίδες, πῶς ἦλθον εἰς θεογνωσίαν. 164
Ἰγνατίου καρδία δὲν ἐφαγώθη ἀπὸ τοὺς λέοντας.--Θεοφόρος διατί λέγεται.—Λόγια τούτου ἐρωτικὰ πρὸς Θεόν.—Μέγας ἦτο καὶ πάλιν ταπεινός. — Ἐπιστολαὶ πόσαι. ὑποσ. 326—7
Ἱερὰ οἱ σφετερίζοντες, τί παθαίνουσι. 213—4
Ἱερεῖς ἑξήκοντα λαλοῦσι χωρὶς γλώσσης. 280
Ἱερεμίας ποῦ ἔγραψε τοὺς θρήνους· ὑποσημ. 190
Ἱεροσύνης δῶρον ποῖον εἶναι. 284
Ἰνδοὶ διά τίνος ἐπίστευσαν· αὐτόθι.
Ἰουλιανοῦ τοῦ παραβάτου τῆς σφαγῆς πέρι, ποῖος προεῖπε· ὑποσημ. 140
Ἰουστῖνος ἑραστὴς ἦτο ὁ Κυπριανὸς, καὶ οὐχὶ ἄλλος· ὑποσημ. 93
Ἰοῦστος ὁ καὶ Ἰησοῦς ἡ Ἰωσὴφ βιβλίον εἶχε· ὑποσημ. 175
Ἰωάννης ὁ Θεολόγος τί προφητικῶς εἶπε περὶ τοῦ Ἀρχαγγέλου Μιχαήλ. 20
Ἀνεψιὸς ἦτο τοῦ Κυρίου. — Διατί ἐσυγχωρήθη νὰ πέσῃ εἰς πειρασμόν. 67
Πότε ἐξωρίσθη εἰς Πάτμον· ὑποσημ. 69
Τίνων δεήσει συνέγραψε τὸ Εὐαγγέλιον. Πότε ἔγραψε τὸ Εὐαγγέλιον, τὴν Ἀποκάλυψιν, καὶ τὰς ἐπιστολὰς, καὶ ποῦ. Τὰ ἐν τῇ καθολικῇ πρώτῃ ἐπιστολῇ λόγιά του, τὰ διαλαμβάνοντα περὶ τῶν τριῶν μαρτύρων τῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, νόθα εἰσιν. Γνήσιά εἰσι, καὶ εὑρίσκονται εἰς πολλὰ ἀρχαῖα χειρόγραφα. αὐτόθι ὑποσ. 73
Οὐ μετέστη μόνον, ἀλλὰ καὶ ἀνέστη ἐν ῥιπῇ ἀφθαρτισθείς. Πότε ἐκβῆκεν ἀπὸ τὰ Ἱεροσόλυμα. Ἀπέθανε αὐτόθι. ὑποσ. 76
Τὸ πέταλον, ὃ ἐφόρει, τί ἦτον. 74
Ἰωάννης ὁ ἀπὸ Σχολαστικῶν εἰς πόσους τίτλους διῄρεσε τοὺς Κανόνας. Τὸ νομοκάνονον αὐτοῦ ποῦ σώζεται. ὑποσ. 472
Ἰωάννου τοῦ Βαπτιστοῦ τὴν χεῖρα τίς ἔλαβε. —Τὸ διὰ τοῦ δακτύλου αὐτῆς θαῦμα.—Πότε ὑψοῦται.—Πότε μετεκομίσθη εἰς Κωνσταντινούπολιν.—Πότε ἐδήλου εὐτυχίαν καὶ πότε ἀφορίαν. 369
Ποῦ τώρα εὑρίσκεται. ὑποσ. 370
Ἰωνᾶς υἱὸς ἦτο τῆς χήρας τῆς ξενοδοχησάσης τὸν Ἠλίαν, ἤτοι Σιδώνιος.—Ἰουδαῖος ἦτο— Πῶς αὐτὸν ἐξέβρασε τὸ κῆτος.—Τὸ κῆτος τὸ καταπιὸν αὐτὸν πῶς λέγεται.—Τί προετύπωσεν.—Μὲ ποίαν γλῶσσαν ἐκήρυξεν εἰς τοὺς Νινευΐτας. ὑποσ. 57
Καὶ ἄλλας προφητείας ἐποίησε. ὑποσ 58
Ἰωὴλ δύω εἶναι· ὑποσημ. 142
Ἰωσὴφ ὁ Μνήστωρ πόσους υἱοὺς καὶ θυγατέρας εἶχε. 67
Εἶχε καὶ ἄλλην γυναῖκα. 154
Ἐν παρθενίᾳ ἐπέρασε τὴν ζωήν του· αὐτόθι.
Ἀφ' οὗ ἐμνηστεύθη τὴν Θεοτόκον, πόσος καιρὸς ἐπέρασε, καὶ εὐηγγέλισεν αὐτὴν ὁ Γαβριήλ· ὑποσημ. 237
Διατί παρέλαβε τὴν Θεοτόκον. 237
Ἰωσὴφ τὸν Πάγκαλον, ποία ἀρετὴ ἐπώλησε· ὑπ. 209
Ἰωσὴφ Καλοθέτης, τίς ἦν· ὑποσημ. 168
Ἰησοῦς ὄνομα πότε ἔλαβεν ὁ Κύριος καὶ παρὰ τίνος. 358
Ἱμάτιον τίνος ἐφύλαξεν ἄτρωτον ἐν πολέμῳ τὸν φέροντα. 377

Κ

Κάλλιστος διατί λέγεται ὁ Καταφυγιώτης. — Τὰ τῷ Καλλίστῳ ἐπιγραφόμενα κεφάλαια τίνος εἰσιν· ὑποσημ. 241
Κάρπος ὁ Ἀπόστολος τί ὀπτασίαν εἶδεν. 96
Καταφυγὴ Μονὴ τῆς Θεοτόκου ποῦ ἦτον· ὑπ. 241
Κατήχησις ἐν τῷ Εὐχολογίῳ ἡ ὑπὸ τοῦ ἱερέως λεγομένη πρὸς τὸν νεόκουρον μοναχὸν, τίνος ἐστὶ πόνημα· ὑποσημ. 256
Κατηχήσεις Θεοδώρου τοῦ Στουδίτου πόσαι εἶναι, καὶ ποῦ εὑρίσκονται· ὑποσημ. 217
Κακὸν στανικὸν εἶναι πολὺ λυπηρὸν, τὸ δὲ θελληματικὸν εἶναι κατώτερον. 485
Κλειδίον σου ἀνοίγει τὴν θύρκν, τί σημαίνει· ὑποσημ. 422
Κλέπτων τις τὰ τῶν πενήτων ἀργύρια ποίαν ὀργὴν λαμβάνει. 390
Κλήμης ὁ Ἀγκύρας εἰς πόσους βασιλεῖς καὶ ἡγεμόνας ἐμαρτύρησεν, καὶ εἰς πόσους χρόνους, καὶ πόσα ἤδη βασάνων ὑπέμεινεν 404—5
Κοινωνίας μυστηρίων μακροχρόνιος ἀποχὴ κακὸν προξενεῖ· ὑποσημ. 392
Κοινωνίαν τῶν μυστηρίων τίς μόνην τρώγων, ἔζη. 270
Κόλασις διττὴ ἐστί. — Οἱ ἐν τῇ κολάσει πότε ἐλαφρύνονται. 392
Κοσμικοὶ ἐμπαίζονται ἀπὸ τὸν κόσμον. 393
Κρήτη ποίους ἁγίους ἐβλάστησε. 331, 365 καὶ 439
Κριτὴς ἄδικος σωφρονίζεται· ὑποσημ. 379
Κριτὴς ὁ δίκαιος καὶ κατ' ὄναρ φαινόμενος, φόβον μέγαν προξενεῖ. 247
Κριτικὰ πέρα τοῦ δέοντος, ποῖοι εἶναι· ὑποσ. 340
Κύριε ἐλέησον, τίς ἔλεγεν εἰς ὅλην τὴν ἀκολουθίαν ἱστάμενος. 374
Κωνσταντῖνος ὁ μέγας πότε ἐβαπτίσθη.—Οὐ διάπτει τὴν αὐτοῦ ἀγωγὴν τὰ ἐν τῷ τέλει βαπτισθῆναι.—Πρὸ τούτου ἐφόνευσε τὴν Φαύστην καὶ τὸν Κρίσπον.—Μετὰ θάνατον,

Digitized by Google

σελ.

αὐτοῦ ἄγγελοι ἔψαλλον. ὑποσ. 359—60
Καὶ ταῦτα δὲ σημειοῦμεν ὡς ἀξιοπόθητα, ἅπερ γράφει ὁ ἀοίδιμος Δοσίθεος, σελ. 1152 τῆς Δωδεκαβίβλου, ἤγουν, ὅτι τὸν ἐν τοῖς Χαλκοπρατείοις ναὸν τῆς Θεοτόκου ἀνήγειραν ὁ βασιλεὺς Ἰουστῖνος καὶ Σοφία ἡ γυνή του. Ἐν δὲ τῇ ἀγρυπνίᾳ τῇ γενομένῃ ἐν τῷ οἴκῳ τῶν Χαλκοπρατείων ἐποίουν τὰς ἀναγνώσεις μεγάλοι ἄνθρωποι, στοχαζόμενοι ὡς τιμήν των μεγάλην τὴν δούλευσιν τοῦ Θεοῦ. Μιχαὴλ ὁ Ῥαγγαβὲ πρὸ τοῦ νὰ βασιλεύσῃ, Κουροπαλάτης ὢν, καὶ ὁ Βάρδας Καῖσαρ μετέπειτα καὶ πολλοὶ τῶν μεγιστάνων ἐκανονάρχουν, καὶ ἄλλας χωριστὰς διακονίας ἐποίουν ἐν αὐτῷ. Εὑρίσκοντο δὲ ἐν τοῖς Χαλκοπρατείοις καὶ τρίχες τοῦ Προδρόμου. Ἱστορεῖ δὲ καὶ Γεώργιος ὁ Λογοθέτης, ὅτι στρατεύσας Ἰσάκιος ὁ Ἄγγελος (ἴσως ὁ Κομνηνὸς, ὁ βασιλεύσας ἐν ἔτει ᾳνζ'(1057) κατὰ Ἀσάνη τοῦ Βουλγάρου, καὶ δελεασθεὶς, ἔφοδον εἶναι Σκυθῶν, ἐνικήθη. Ὅθεν ἐπάρθη ὁ βασιλικὸς σταυρὸς, ἐν ᾧ ἦν μέρος τῆς ἁγίας Ζώνης αὐτῆς, καὶ τοῦ τιμίου ξύλου ἄδεται δὲ λόγος, ὅτε ἡ βασίλισσα Πουλχερία, διὰ τὴν εὐλάβειαν καὶ ἀγάπην, ἣν εἶχεν εἰς τὴν Κυρίαν Θεοτόκον, διεπέρασεν εἰς τὴν ζώνην αὐτῆς χρυσᾶς σειρὰς, αἱ ὁποῖαι φαίνονται ἕως τῆς σήμερον ἐν τῇ ἁγίᾳ ταύτῃ ζώνῃ, τῇ εὑρισκομένῃ κατὰ τὴν ἱερὰν καὶ βασιλικὴν μονὴν τοῦ Βατοπαιδίου. Προσθέτομεν δὲ ἐνταῦθα ὡς ἀξιόλογον τὴν εἴδησιν ταύτην, περὶ τοῦ πότε καὶ παρὰ τίνος ἀφιερώθη τῇ ἱερᾷ καὶ βασιλικῇ μονῇ τοῦ Βατοπαιδίου ὁ πολύτιμος θησαυρὸς τῆς ἁγίας Ζώνης τῆς Θεοτόκου. Ὁ ἀνωτέρω ῥηθεὶς βασιλικὸς σταυρὸς, ἐν ᾧ ἦν ἡ πανάφθορος ζώνη τῆς Κυρίας Θεοτόκου μετὰ τιμίου ξύλου, αὐτὸς λέγω αἰχμαλωτισθεὶς ὑπὸ τῶν Βουλγάρων ἔμεινεν εἰς αὐτούς. Ἐν δὲ τῷ ἀρὰ (1401) ἔτει, Λάζαρος ὁ Κνέζης Σερβίας ἀφιέρωσε τὸν ῥηθέντα βασιλικὸν σταυρὸν, οὕτω καθὼς ἦν μετὰ τῆς ἁγίας ζώνης καὶ τοῦ τιμίου ξύλου τῇ ἱερᾷ καὶ βασιλικῇ μονῇ τοῦ Βατοπαιδίου. Ἦτο δὲ τοῦ σταυροῦ τὸ μὲν μῆκος δάκτυλα ἑπτά, τὸ δὲ πλάτος δάκτυλοι δύω· ὅστις σώζεται ἐν τῇ ἀνωτέρω μονῇ μέχρι τῆς σήμερον. Ὄπισθεν δὲ τοῦ σταυροῦ εὑρίσκονται γεγραμμένα γράμματα διὰ Σερβικῶν χαρακτήρων, ἅπερ μεθερμηνευθέντα εἰς τὴν καθ' ἡμᾶς γραικικὴν διάλεκτον, λέγουσι ταῦτά «Λάζαρος ἐν Χριστῷ τῷ Θεῷ Κνέζης Σερβίας καὶ βασιλεὺς Γραικίας, ἀνατίθημι τὸ κραταιὸν ὅπλον σὺν τῇ ἀχράντῳ ζώνῃ

Digitized by Google

ἂν ἦτο θεούφαντος, ἔχουσα μίαν χρυσῆν βοῦλλαν καὶ ἕνα σύντομον ὑπόμνημα, τὸ ὁποῖον ἐφανέρονε καταλεπτῶς τὸν χρόνον, καὶ τὴν ἰνδικτιῶνα καὶ τὴν ἡμέραν, κατὰ τὴν ὁποίαν ἐφέρθη εἰς τὴν Κωνσταντινούπολιν ἡ ἁγία ζώνη, καὶ ὅτι κατετέθη ἀπὸ τὰς χεῖρας τοῦ βασιλέως Ἀρκαδίου ἐντὸς τῆς θήκης καὶ ἐβουλλώθη ἀπὸ αὐτόν. Ἀφ' οὗ λοιπὸν ἐπροσκύνησεν αὐτὴν καὶ ἐφίλησεν ὁ βασιλεύς, τὴν ἤπλωσεν ὁ τότε πατριάρχης ἐπάνω εἰς τὴν πάσχουσαν βασίλισσαν, καὶ ὢ τοῦ θαύματος! παρευθὺς ἠλευθερώθη ἡ βασίλισσα ἀπὸ τὸ δαιμόνιον. Ὅθεν ὅλοι ἐδόξασαν τὸν Θεὸν καὶ Σωτῆρα Χριστόν, καὶ εὐχαρίστησαν εἰς τὴν πανάχραντον Μητέρα του, καὶ πάλιν ἀπέθεντο τὴν τιμίαν Ζώνην ἐντὸς τῆς ἁγίας Σοροῦ, εἰς τὴν ὁποίαν ἦτο καὶ πρότερον· (ὅρα περὶ τούτου εἰς τὴν Καλοκαιρινήν.)

—

Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνακαίνισις τοῦ ναοῦ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου ἐν τῷ Νεωρίῳ.

† » Νεωρίου ὁ οἶκος, Ἀγνὴ, σοῦ πέλει,
» Ἄλλος Σηλωὰμ τὰς ἱάσεις ἐχέων.

† Κατὰ τοὺς χρόνους Μιχαὴλ καὶ Θεοδώρας τῶν βασιλέων ἐν ἔτει ωμβ' (842), ὑπῆρχε πατρίκιός τις, Ἀντώνιος ὀνομαζόμενος, ὁ ὁποῖος εἶχεν οἶκον σεμνὸν εἰς τὴν Κωνσταντινούπολιν, εἰς τὴν αὐλὴν τῆς ἐξαρτήσεως τοῦ Νεωρίου· εἶχε δὲ καὶ ναὸν ἔνδοξον τῆς ὑπεραγίας Θεοτόκου, ὁ ὁποῖος εἶχε στερηθῆ ἀπὸ ἁγίας εἰκόνας παρὰ τῶν προτέρων εἰκονομάχων βασιλέων. Οὗτος λοιπὸν ὁ πατρίκιος, πάλιν ἀνακαινίζων τὸν ῥηθέντα ναὸν, ἔκτισεν ὑποκάτω τούτου καὶ λουτρὸν μικρότατον διὰ σωματικὴν του παρηγορίαν· ἄνωθεν δὲ τοῦ λουτροῦ ἐτελεῖτο πάντοτε ἡ τοῦ Θεοῦ δοξολογία. Ὅθεν ἐπεσκίασεν εἰς τὸν ναὸν αὐτὸν ἡ χάρις τοῦ παναγίου Πνεύματος, διὰ μέσου τῆς πανάγνου μητρὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἤρχισαν νὰ γίνωνται εἰς αὐτὸν ἰατρεῖαι διαφόρων ἀσθενειῶν· ἀλλὰ καί τινες φιλόχριστοι χριστιανοὶ συναχθέντες, ἐζήτουν τὸν Πατρίκιον νὰ κάμῃ λοῦσμα εἰς τὸ λουτρὸν ἐκεῖνο μίαν φορὰν τὴν ἑβδομάδα δι' ἀγάπην τῶν ἐν Χριστῷ ἀδελφῶν, καὶ μάλιστα τῶν ἀσθενῶν. Συναθροιζόμενοι λοιπὸν ἐκεῖ οἱ ἀσθενεῖς χριστιανοὶ, ἐκάμνον τὸ λοῦσμα μετὰ πίστεως καὶ ἐθεραπεύοντο. Μέλλων δὲ νὰ ἀποθάνῃ ὁ Πατρίκιος, ἄφησε τὴν Ἐκκλησίαν ἐκείνην τῆς Θεοτόκου καὶ τὸ λουτρὸν εἰς τοὺς εὑρεθέντας φιλοθέους χριστιανοὺς ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας. Οἱ χριστιανοὶ δὲ ἐκεῖνοι, ἐπειδὴ ἦσαν εὐτελεῖς καὶ πτωχοὶ, καὶ οὔτε ἀρκετὸν νερὸν εἶχον διὰ τὸ λουτρὸν, οὔτε ἄλλο τι εἰσόδημα, διὰ τοῦτο ὀλίγον κατ' ὀλίγον ἐψυχραίνοντο εἰς τὸ νὰ ἐνεργῶσι καὶ τὴν ἐν νῷ ναῷ δοξολογίαν τοῦ Θεοῦ καὶ τὸ τοῦ λουτροῦ καύσιμον, ὥστε βαθμηδὸν ἔμειναν καὶ τὰ δύω ἀνεπιμέλητα. Καὶ τὸ μὲν λουτρὸν σχεδὸν ἠφανίσθη, διότι ὁ καθ' εἷς ἥρπαζε τὰ ἐν αὐτῷ χρειαζόμενα σκεύη· ἡ δὲ ἐκκλησία τῆς Θεοτόκου, ἐπειδὴ ἦτο ὑψηλὴ καὶ μετέωρος, καὶ πρὸς τούτοις ἐπροξένει ἰατρείας τῶν ἀσθενῶν, ἔμεινεν ἀπὸ ἕνα μόνον ἱερέα ψαλλομένη καὶ δοξολογουμένη, ὁ ὁποῖος ἐλάμβανε πλούσια τὰ πρὸς ζωάρκειαν ὑπὸ τῆς θείας χάριτος, τῆς ἐνοικούσης ἐν τῇ ἐκκλησίᾳ ἐκείνῃ.

Ὅτε δὲ ὁ μακαριστὸς βασιλεὺς Ῥωμανὸς κατεσκεύαζε τὸ βασιλικόν του παλάτιον καὶ εἶχε χρείαν ὕλης, πετρῶν δηλαδὴ καὶ ξύλων, εἰς κατασκευὴν τοῦ παλατίου του, ἔμαθε διὰ τὸν οἶκον αὐτὸν τῆς Θεοτόκου, ὅτι εἶχεν ὕλην πολλήν· ὅθεν ἐμελέτα νὰ τὸν κρημνίσῃ καὶ νὰ λάβῃ τὸ ὑλικόν. Ἀλλ' ὅμως ἡ Κυρία Θεοτόκος, ἡ κατοικοῦσα διὰ τῆς χάριτος της εἰς τὸν ναὸν ἐκεῖνον, δὲν ἠμέλησεν, οὐδὲ ἀφῆκε νὰ ἐκτελέσῃ ὁ βασιλεὺς τὰ μελετώμενα· ἀλλὰ φαίνεται διὰ νυκτὸς εἰς τὸν ἐπιστάτην τοῦ βασιλικοῦ παλατίου, Ῥαίκτορα καλούμενον,[1] καὶ εἰς ἕνα ἄλλον συγγενῆ τοῦ Ῥαίκτορος, καὶ παρήγγειλεν εἰς αὐτοὺς μὲ ἀπειλὴν νὰ μὴ τολμήσωσι νὰ κρημνίσωσι τὸν μικρὸν ναόν της τὸν ἐν τῷ Νεωρίῳ. Ἐξυπνήσας δὲ ὁ γέος ὑπῆγεν εἰς τὴν μητέρα τοῦ Ῥαίκτορος καὶ ἐφανέρωσεν εἰς αὐτὴν τὴν ὀπτασίαν· ὅθεν μαθὼν ταῦτα ὁ βασιλεὺς,

---

» τῆς Παναγίας μου, τῇ μονῇ Βατοπαιδίου τῆς βασιλείας μου, » ἁγιά (1101.)»

Σημείωσαι ὅτι εἰς τὴν κατάθεσιν τῆς ἁγίας ζώνης καὶ εἰς τὰ τίμια σπάργανα τοῦ Κυρίου λόγον ἔχει ὁ ἅγιος Γερμανὸς ὁ Κωνσταντινουπόλεως, οὗ ἡ ἀρχὴ «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ·» ὁμοίως λόγον ἔχει εἰς τὴν αὐτὴν κατάθεσιν τῆς ἁγίας ζώνης καὶ τῶν τιμίων σπαργάνων ὁ σοφὸς Εὐθύμιος ὁ Ζυγαδηνὸς, οὗ ἡ ἀρχὴ «Προκειται σήμερον ἡμῖν εἰς προσκύνησιν·» (φώζονται ἐν τῷ πέμπτῳ Πανηγυρικῷ βιβλίῳ τῆς ἱερᾶς μονῆς τοῦ Βατοπαιδίου.)

[1] Φαίνεται ὅτι ἐνταῦθα ἐγένετο ἐσφαλμένη μετάφρασις, διότι Ῥαίκτωρ (γράφε Ῥέκτωρ) δὲν εἶναι ὄνομα κύριον, ἀλλὰ λέξις λατιν. σημαίνουσα διευθυντὴν, ἐπιστάτην, καὶ ἐννοεῖται ὁ διευθύνων τὰ τῆς οἰκοδομῆς τοῦ ἀνακτόρου. Πρὸς ταῦτα δὲ συμφωνεῖ καὶ τὸ παρὰ τοῖς Μηναίοις κείμενον. Σ. Ε.

Digitized by Google

εἶπε τὰ λόγια ταῦτα· δὲν θέλω νὰ ἔχω χρίσιν μετὰ τῆς Θεοτόκου, ἀλλὰ μάλιστα ἀνακαινίσατε τὸν μικρὸν οἶκον τῆς Θεοτόκου, ἂν χρειάζεται ἀνακαινισμὸν εἰς κἀνὲν μέρος. Ὅθεν ἀντὶ νὰ χρημνίσωσι τὸ λουτρὸν, ἐκαθάρισαν αὐτὸ οἱ ἀπεσταλμένοι ἄνθρωποι, καὶ μὲ πᾶσαν προθυμίαν τὸ ἀνεκαίνισαν. Ὅτε δὲ καὶ ὁ ναὸς τῆς Θεοτόκου ἀνεκαινίσθη, καὶ τὸ λουτρὸν ἔγεινε μεγαλήτερον καὶ εὐρύχωρον εἰς τὸ νὰ κολυμβῶσιν οἱ λουόμενοι, τότε ἀνήφθη τὸ λουτρὸν, καὶ ἐλούσθησαν εἰς αὐτὸ ὁ βασιλεὺς Ῥωμανὸς, καὶ Κωνσταντῖνος, καὶ Χριστοφόρος, καὶ εὐφρανθέντες, διώρισαν νὰ δίδεται κατ' ἔτος σολέμνιον· ἤτοι ἔξοδος βασιλικὴ εἰς τὸ λουτρὸν αὐτὸ, μὲ βασιλικὸν χρυσόβουλλον, καὶ ἐχάρισαν αὐτὸ εἰς τὸ μοναστήριον τὸ καλούμενον τοῦ Ῥαίκτορος, διὰ νὰ φροντίζωσι περὶ τοῦ λουτροῦ καὶ τοῦ ναοῦ τῆς Θεοτόκου οἱ μοναχοὶ τοῦ μοναστηρίου ἐκείνου. Καὶ ὅσα μὲν θαύματα ἔγειναν πρότερον εἰς τὸν ἀνωτέρω ναὸν τῆς Θεοτόκου θέλομεν τὸ παρατρέξει, θὰ εἴπωμεν δὲ ἓν ἢ δύω θαύματα, τὰ ὁποῖα ἔγειναν κατὰ τὴν ἰδικήν μας γενεάν.

Μία γυνὴ ἔνδοξος ἔπεσεν εἰς χαλεπὴν ἀσθένειαν καὶ ἐπρίσθη τὸ σῶμά της· πάσχουσα δὲ ἀπὸ πόνους ἀνυποφόρους, ἐξώδευσεν εἰς ἰατροὺς ὅλα της τὰ ὑπάρχοντα, μὴ δυνηθεῖσα ὅμως νὰ λάβῃ κἀμμίαν ὠφέλειαν εἰς τὸ πάθος της, καὶ ἀκούσασα τὰ θαύματα ὅσα ἐγίνοντο εἰς τὸν ἐν τῷ Νεωρίῳ οἶκον τῆς Ὑπεραγίας Θεοτόκου, προσέτρεξεν εἰς αὐτόν. Προσμείνασα δὲ ἐκεῖ πολλὰς ἡμέρας, καὶ μὴ ὠφεληθεῖσα τελείως, ἐστενοχωρήθη πολλὰ ἀπὸ τὸ πάθος της καὶ ἀνεχώρησεν. Ὅθεν ἐλθοῦσα εἰς τὸν ἐν Βλαχέρναις ναὸν τῆς Θεοτόκου, καὶ πεσοῦσα εἰς τὴν γῆν, παρεκάλει τὴν Θεοτόκον, λέγουσα: Ἐλέησόν με, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, διότι ἀπελπισθεῖσα ἀπὸ πᾶσαν ἀνθρωπίνην βοήθειαν, κατέφυγον πρὸς σέ. Ἔμεινε λοιπὸν ἐκεῖ ἡ γυνὴ ἡμέρας ἐννέα· ἡ δὲ Κυρία καὶ εὔσπλαγχνος Θεοτόκος φαίνεται κατ' ὄναρ εἰς τὴν πάσχουσαν καὶ λέγει αὐτῇ: Ὦ γύναι, τί φωνάζεις καὶ μὲ ἐνοχλεῖς, καὶ τελείως δὲν ἡσυχάζεις; Ἡ δὲ πάσχουσα ἀπεκρίθη, ὦ Δέσποινα, ἠξεύρω ὅτι διὰ τὰς ἁμαρτίας μου πάσχω καὶ πειράζομαι· γινώσκουσα ὅμως, ὅτι δι' ἡμᾶς τοὺς ἁμαρτωλοὺς ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν κατέβη ἀπὸ τοὺς οὐρανοὺς, καὶ ἐγεννήθη ἀπὸ τὴν ἁγίαν κοιλίαν σου καὶ ἔγεινεν ἄνθρωπος, διὰ τοῦτο κατέφυγον εἰς σὲ, διὰ νὰ εὕρω ἡ δυστυχὴς ἔλεος. Ἡ δὲ Θεοτόκος εἶπε πρὸς αὐτήν· ὕπαγε εἰς τὸν ταπεινόν μου Οἶκον τοῦ Νεωρίου, καὶ ἐκεῖ θέλεις εὕρει τὴν ἰατρείαν τοῦ πάθους σου. Ἡ γυνὴ λοιπὸν ἐξυπνήσασα, εὐχαρίστησε τὸν Θεὸν, καὶ μὲ ταχύτητα ὑπῆγεν εἰς τὸ Νεώριον καὶ προσπεσοῦσα, παρεκάλει τὴν Θεομήτορα, λέγουσα· Ἐλέησόν με, Δέσποινα, καὶ τελείωσον εἰς ἐμὲ τὴν φυσικήν σου εὐσπλαγχνίαν. Ἐνῷ δὲ ἔλεγε ταῦτα ἀπεκοιμήθη, καὶ βλέπει πάλιν τὴν Θεοτόκον συνοδευομένην ἀπὸ ἕνα ὡραῖον ἄνδρα, ἥτις ἔλεγεν εἰς ἐκεῖνον, Ἰδὲ τὴν πάσχουσαν ταύτην γυναῖκα καὶ σχίσον τὸν ὀμφαλόν της. Ὅθεν ὁμοῦ μὲ τὸν λόγον ἐκτύπησεν ἐκεῖνος τὴν κοιλίαν τῆς γυναικὸς, μὲ τὴν ῥάβδον τὴν ὁποίαν ἐκράτει, καὶ οὕτως ἔγειναν ἄφαντος ὁμοῦ μὲ τὴν Θεοτόκον. Ἐξυπνήσασα δὲ ἡ γυνὴ ἠσθάνθη μίαν ἀνυπόφορον δυσωδίαν, ἡ ὁποία ἐξήρχετο ἀπὸ τὸ σῶμά της· ὅθεν εὐθὺς ἐξεδύθη τὰ ἐνδύματά της, καὶ ἐμβῆκεν εἰς τὸ λουτρόν· πλύνασα δὲ ἑαυτὴν, ἐκβῆκεν ἀπὸ τὸ λουτρὸν ὁμοῦ μὲ τὰς γυναῖκας τὰς ὁποίας εἶχε μαζί της, ὑγιὴς καὶ ἰατρευμένη. Προσκυνήσασα λοιπὸν τὸν ἅγιον ἐκεῖνον ναὸν, καὶ θυμιάσασα αὐτὸν μὲ εὐωδίας, εὐχαρίστει καὶ ἐδοξολόγει τὴν Θεομήτορα καὶ τὸν ἐξ αὐτῆς τεχθέντα Χριστὸν τὸν Θεὸν ἡμῶν. (ἆρα καὶ εἰς τὴν Καλοκαιρινήν.)

Καὶ ἄλλο δὲ θαῦμα ἔγεινεν εἰς τὸν ἀνωτέρω ναόν. Μοναχός τις Ἀντώνιος καλούμενος, ἀπὸ τὸ μοναστήριον τὸ ὀνομαζόμενον τῶν Γαλακρηνῶν, ἔπεσεν εἰς δεινὴν ἀσθένειαν, διότι ἡ δεξιά του χεὶρ προσεβλήθη ἀπὸ ῥευματισμὸν, ἀπὸ τὸν ὁποῖον ἐπρίσθη τόσον πολλὰ, ὥστε ἐπιάσθη καὶ ἡ χεὶρ αὐτοῦ καὶ τὸ ποδάριον. Ὅθεν οἱ ἰατροὶ ἔκοψαν τὴν ἐπιφάνειαν τοῦ πήχεως τῆς χειρός του καὶ ἐκ τούτου ὀλίγον ἐλαφρωθεὶς, μόλις καὶ μετὰ βίας ἐδυνήθη νὰ σαλεύσῃ μόνον τὴν χεῖρά του, διότι ὁ ῥευματισμὸς καταβὰς εἰς τὸν πόδα του, ἐξήρανε τὰ ἐκεῖσε νεῦρα, καὶ τὰ ἔκαμε πάντῃ ἀκίνητα. Ὅθεν ὁ Ἀντώνιος βαστάζων ῥαβδίον, ἐπεριπάτει μονόπους ἐν τῷ μοναστηρίῳ, εἰς διάστημα χρόνων πέντε, καὶ μήτε πόνους ἠσθάνετο, μήτε πάλιν ἦτο τελείως ὑγιής. Ὅτε δὲ ἦλθε πολεμικῶς ἡ φυλὴ τῶν Ἀρμενίων ἐναντίον εἰς τὰ μέρη τῆς Κωνσταντινουπόλεως, ὅτε ὁ βασιλεὺς Νικηφόρος ἔλαβεν ὑπὸ Θεοῦ τὸ κράτος καὶ τὴν νίκην κατὰ τῶν πολεμίων, τότε οἱ μοναχοὶ τοῦ μοναστηρίου τῶν Γαλακρηνῶν φοβηθέντες, ἀνεχώρησαν εἰς τὴν Κωνσταντινούπολιν ὁμοῦ μὲ τὸν πάσχοντα Ἀντώνιον, καὶ διέτριβον εἰς τὸ μετόχιον τοῦ μοναστηρίου των, ὅπου ἐσυνειθίζετο νὰ γίνεται τὸ λούσιμον τῆς ὑπεραγίας Θεοτόκου. Ὅτε δὲ ἐπλησίασεν ἡ χαρμόσυνος

Digitized by Google

ἑορτὴ τῆς Κοιμήσεως τῆς Θεοτόκου, ἐξῆλθον οἱ μοναχοὶ καὶ ὑπῆγον εἰς τὸ μοναστήριόν των διὰ νὰ ἑορτάσωσιν, ὅπως ἐδύναντο· μόνος δὲ ὁ Ἀντώνιος μείνας εἰς τὸ μετόχιον, ἐκυβέρνα τὰ ἄλογα ζῶα ὅσα ἦσαν εἰς αὐτό. Ὅθεν ἱππεύσας εἰς ἓν ἵππον, ὑπῆγε διὰ νὰ ποτίσῃ τὰ ζῶα· καὶ ἀφ' οὗ τὰ ἐπότισεν, ἐπανῆλθεν εἰς τὸ μετόχιον.

Ἐμβὰς λοιπὸν εἰς τὸν σταῦλον τῶν ζώων, κατέβη ἀπὸ τὸν ἵππον, καὶ πιάσας μίαν φάτνην, ἀκούμβισεν ἐπάνω εἰς αὐτὴν καὶ ἐπρόσμενε νὰ ἔλθῃ ὁ σὺν αὐτῷ εὑρισκόμενος ἄνθρωπος, διὰ νὰ δώσῃ τὴν ῥάβδον του εἰς αὐτόν. Ἐπειδὴ δὲ ἐκεῖνος ἠργοπόρησεν, ἐθυμώθη ὁ Ἀντώνις, διότι ἐσπούδαζεν ὁ εὐλογημένος νὰ ὑπάγῃ εἰς τὸν ναὸν τῆς Θεοτόκου, ὅπου ἐγίνετο ἡ θεία λειτουργία, καὶ ἐπειδὴ ἡ ὥρα παρήρχετο καὶ ὁ ἄνθρωπος δὲν ἐφαίνετο διὰ νὰ φέρῃ εἰς αὐτὸν τὸ ῥαβδίον του διὰ νὰ ἀκουμβίσῃ καὶ νὰ ὑπάγῃ εἰς τὸν ναόν, τούτου χάριν λυπηθεὶς, ἐφάνη ὅτι ἀπεκοιμήθη· καὶ ἐν τῷ ὕπνῳ μία θεία δύναμις τὸν ἥρπασεν ἀπὸ τὴν φάτνην. Ὅθεν μὲ ἕνα πόδα ἐκβῆκεν ἔξω τῆς θύρας καὶ τῆς αὐλῆς τοῦ μετοχίου· ἐκεῖθεν δὲ πάλιν θεία δύναμις τὸν ἐκίνησεν ἀπὸ τὰ ὄπισθεν μέρη, καὶ οὕτως εὑρέθη εἰς τὸν ναὸν τῆς Θεοτόκου ὅπου ἐτελεῖτο ἡ θεία λειτουργία. Ὅτε δὲ ὁ ἱερεὺς ὕψωσε τὸ Κυριακὸν Σῶμα, καὶ οἱ παριστάμενοι ἐφώνησαν τὸ, « Εἷς Ἅγιος, εἷς Κύριος, » εὐθὺς μὲ τὴν φωνὴν ἐξύπνησεν ὁ Ἀντώνιος, καὶ μεγάλῃ τῇ φωνῇ ἀνεβόησε· δόξα σοι ὁ Θεὸς ὁ ἐλεήσας με ἐν τῇ ὥρᾳ ταύτῃ, διὰ πρεσβειῶν τῆς ὑπεραγίας Θεοτόκου. Ὅθεν προσπεσὼν εἰς τὴν ἁγίαν εἰκόνα της, προσεκύνει αὐτὴν χαρμοσύνως καὶ κατεφίλει, καταβρέχων τὸ ἔδαφος τοῦ ναοῦ μὲ χαροποιὰ δάκρυα.

Ὅλοι λοιπὸν οἱ χριστιανοί, ὅσοι ἦσαν ἐκεῖ, βλέποντες τὸ παράδοξον, ἐδόξαζον καὶ αὐτοὶ τὸν Θεόν, καὶ ἐμεγάλυνον τὴν τούτου Μητέρα. Ἀκούσαντες δὲ τοῦτο καὶ οἱ ἐν τῷ μοναστηρίῳ τῶν Γαλακρηνῶν, καὶ νομίσαντες ὅτι εἶναι ψευδὲς, ὑπῆγαν εἰς τὴν Κωνσταντινούπολιν, καὶ βλέποντες τὸν Ἀντώνιον ὑγιῆ, ἐδόξαζον καὶ αὐτοὶ τὸν Θεόν. Διατὶ ὅμως ὁ ῥηθεὶς Ἀντώνιος καὶ μετὰ τὴν ἰατρείαν, δὲν ἐδύνατο νὰ πατῇ μὲ τελειότητα τὸν ἰατρευθέντα πόδα του, ὡς τὸν ἄλλον, τοῦτο ἂς μὴ θαυμάζῃ τις. Διότι διά τινα οἰκονομίαν συμφέρουσαν τῷ Ἀντωνίῳ, τὴν ὁποίαν ἤξευρεν ὁ τὰ κρυπτὰ εἰδὼς Κύριος, τοῦτο ἡ Θεοτόκος ἐποίησε, καὶ ὄχι διότι δὲν εἶχε δύναμιν νὰ τὸ κάμῃ. Ἄπαγε τῆς βλασφημίας! ἐπειδὴ ἐκείνη ἥτις ἔκαμε τὸ πολὺ, αὐτὴ ἐδύνατο νὰ κάμῃ καὶ τὸ ὀλίγον. Ἀναγινώσκομεν δὲ, ὅτι καὶ Ἰωάννης ὁ τῶν Ἱεροσολύμων ἐπίσκοπος, προσπίπτων εἰς τὸν μακάριον Ἐπιφάνιον τὸν τῆς Κύπρου ἀρχιεπίσκοπον, καὶ παρακαλῶν αὐτὸν διὰ νὰ ἀνοίξῃ καὶ τοὺς δύω ὀφθαλμούς του, οἵτινες ἐτυφλώθησαν, ἤκουσεν ἀπὸ αὐτὸν ταῦτα· ὁ τυφλώσας τοὺς δύω (ἤτοι ὁ Θεὸς), τὸν ἕνα ἤνοιξε· λοιπὸν ἀρκεῖ σοι. Ὅθεν ἀφῆκεν αὐτὸν δι' οἰκονομίαν καὶ διὰ τὸ συμφέρον μονόφθαλμον.

---

* *Μνήμη τοῦ ἁγίου μάρτυρος* ΦΙΛΕΟΡΤΟΥ.

* » Φιλῶν ἑορτὴν, Φιλέορτε, σοῦ τέλους,
» Καὶ σὴν τελευτὴν τὴν ἀπὸ ξίφους γράφω.

* *Μνήμη τοῦ ἁγίου μάρτυρος* ΔΙΑΔΟΧΟΥ.

* » Δέχου με, Διάδοχε, τὸν μικρὸν μέγα,
» Ὑμνοῦντα μικροῖς τὴν τελευτήν σου λόγοις.

* *Αἱ ἅγιαι ἑπτὰ παρθένοι, αἱ Γαζαῖαι, ξίφει τελειοῦνται.*

* » Τιμῶσαν ἑπτὰ παρθένοι τετμημέναι
» Τὸν ἑπτὰ τιμήσαντα κόσμον ἡμέραις.

* *Μνήμη τῶν ἁγίων μαρτύρων* ΜΗΝΑ, ΦΑΥΣΤΟΥ, ΑΝΔΡΕΟΥ, *καὶ* ΗΡΑΚΛΕΙΟΥ.

* » Ἱπποδρομοῦντας τέσσαρας Θεὸς βλέπει,
» Σατὰν δὲ πίπτει, καὶ κροτεῖ δῆμος νόων.

* *Οἱ ἅγιοι τέσσαρες μάρτυρες οἱ ἐκ Πέργης τῆς Παμφυλίας, εἰς πῦρ ὑποστρωθὲν τρέχειν ἀναγκασθέντες τελειοῦνται.*

* » Στέφη λαβόντων τεσσάρων, ὧν πῦρ δρόμος,
» Ἥττης δέχονται δαίμονες τὰ πεισία. [1]

* *Οἱ ἅγιοι τριακόσιοι ἑξήκοντα ἓξ μάρτυρες οἱ ἐκ Νικομηδείας ξίφει τελειοῦνται.*

* » Χρόνον φέρει βίσεκτον ὁ τιμηθεὶς ὄχλος,
» Ὃν τῇ χρόνου δίδωμι συγγραφῇ πέρας.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς.

---

[1] Ἤτοι ἐπείσθησαν οἱ δαίμονες θέλοντες καὶ μὴ θέλοντες ὅτι ἐνικήθησαν· πεισίον γὰρ λέγεται ἡ πειθώ. Ἐν δὲ τῷ Συναξαριστῇ τῆς τοῦ Διονυσίου μονῆς γράφεται, τὰ πυρεῖα. [ἡ λέξις πεισία ἀνύπαρκτος, ἂν ἤθελε δέ τις τὴν δημιουργήσῃ ὀρθότερον ἤθελεν εἶσθαι πείσιον ἐκ τοῦ πεῖσις. Σ. Ε.]

» Ἄγουστος ὧδε μὴν τὸ τέρμα λαμβάνει,
» Θεῷ δὲ δόξαν τέρματος χωρὶς φέρει.

Digitized by Google

ΑΝΑΠΛΗΡΩΣΙΣ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ

Τοῦ ἁγίου Ἱερομάρτυρος

ΑΝΤΙΠΑ.

(ΙΑ'. Ἀπριλίου.)

Οἱ βουλόμενοι οὖν ἑορτάζειν τὴν μνήμην τοῦ ἁγίου, ψαλλέτωσαν πρῶτον τὰ ἐν τῷ Μηναίῳ τροπάρια, ποιοῦντες αὐτὰ Δ'. εἶτα ψαλλέτωσαν καὶ τὰ παρόντα.

Ἦχος Δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Φιλεόρτων συστήματα, πανδημεὶ νῦν συνδράμετε, καὶ λαμπρὰν πανήγυριν συγκροτήσατε· ἰδοὺ γὰρ πάντας ἐκάλεσεν, Ἀντίπας ὁ ἔνδοξος, ἱεράρχης τοῦ Χριστοῦ, καὶ πιστὸς ἐν τοῖς μάρτυσι, παραθέμενος, ὡς κοινὴν εὐωχίαν ἀριστείας, τὰς αὐτοῦ καὶ τοὺς ἀγῶνας, καὶ ἰαμάτων τὰς χάριτας.

Δίς.

Καὶ τῷ θρόνῳ διάδοχος, καὶ τῷ τρόπῳ συμμέτοχος, Ἀποστόλων γέγονας ἱερώτατε· καὶ ἀθλητὴς ἐννομώτατος, Χριστοῦ πανσεβάσμιε, καὶ ποιμὴν ἀληθινός, τῆς Περγάμου καὶ πρόεδρος· ὅθεν ἅπαντες, κατὰ χρέος τελοῦμέν σου τὴν μνήμην, τὸν Σωτῆρα εὐφημοῦντες, τὸν σὲ ἀξίως δοξάσαντα.

Τῷ αὐλῷ σου πνεύματι, ἱεράρχα σεβάσμιε, μακαρίων πνεύματα συναγάλλονται· ἡμεῖς δὲ χάριν ἰάσεων, τῶν σῶν οἱ λαμβάνοντες, καὶ ὀδόντων ἀλγεινῆς, ἀσθενείας λυτρούμενοι, ταῖς πρεσβείαις σου, ψυχικῶς ἀγαλλόμεθα Ἀντίπα, καὶ τὴν μνήμην σου τὴν θείαν, περιχαρῶς ἑορτάζομεν.

Δόξα, Ἦχος π.λ. β'.

Σήμερον ὡς ἔαρ νοητὸν, τῷ αἰσθητῷ ἔαρι συνεξέλαμψε, τοῦ ἱερομάρτυρος Ἀντίπα ἡ σεβάσμιος πανήγυρις. Δεῦτε οὖν φιλέορτοι, ἐκ λογικῶν λειμώνων, ἄνθη ποικίλα δρεψάμενοι, στέφανον ἡδύπνοον αὐτῷ προσοίσωμεν λέγοντες· χαίροις ὁ τοῖς χρόνοις καὶ τοῖς ἔργοις ἀναφανεὶς ἰσαπόστολος, καὶ τοῦ ἐπιστηθίου Ἰωάννου λαμπρότατον ἀπεικόνισμα· χαίροις ὁ μαρτυρηθεὶς παρὰ Χριστοῦ, μάρτυς πιστός τε καὶ γνήσιος· χαίροις ὁ τῆς Περγάμου φωστὴρ, τῆς μικρᾶς Ἀσίας τὸ κλέος, καὶ τῆς οἰκουμένης ἁπάσης πρεσβευτὴς ὁραστικώτατος. Καὶ νῦν ἐν οὐρανοῖς, τῷ θρόνῳ παριστάμενος τῆς ἁγίας Τριάδος, αἴτησαι πρεσβείαις σου ὀδόντων ἀφορήτου ὀδύνης λυτροῦσθαι ἡμᾶς, τοὺς ἐκ πόθου εὐφημοῦντας τὴν μνήμην σου.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε.

Ἀναγνώσματα τὸ «Μνήμη δικαίου μετ' ἐγκωμίων,» τὸ «Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι.» καὶ τὸ «Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι.»

Εἰ τὴν λιτὴν ἦχος Δ'.

Ἀγάλλου ἐν Κυρίῳ πόλις ἡ τῆς Περγάμου· ἀπόδυσαι τὸν πενθήρη σάκκον, καὶ χιτῶνα εὐφροσύνης περίζωσαι· εἰ γὰρ καὶ θρόνος τοῦ Σατανᾶ, γεγένησαι πρότερον κατὰ τὸ γεγραμμένον, καὶ τὸ σκότος εἰσέτι φέρεις τῆς ἀσεβείας· ἀλλ' ἰδοὺ καὶ πολιοῦχον πλουτεῖς θαυμαστὸν, Ἀντίπαν τὸν λαμπρὸν ἱεράρχην καὶ μάρτυρα, ἀντίπαλον τῆς ἀσεβείας, καὶ τῆς εὐσεβείας ὑπέρμαχον· ἰατρὸν ἀδάπανον ψυχῶν τε καὶ σωμάτων, καὶ ἐξαιρέτως τῆς τῶν ὀδόντων δριμείας ὀδύνης· καὶ ἀεὶ πρεσβεύοντα τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς, τῶν ἐν πίστει τελούντων αὐτοῦ τὴν πανήγυριν.

Ἦχος Β'.

Τῆς ἐκκλησιαστικῆς ἱεραρχίας, τὴν τελεσιουργὸν τὸ πρὶν κληρωσάμενος δύναμιν, Ἀντίπα Θεομαρτύρητε, ψήφοις τοῦ πρώτου Ἱεράρχου Χριστοῦ, καὶ χειρῶν ἐπιθέσει τῶν ἱερῶν Ἀποστόλων, ἐν ὑλαίοις συμβόλοις, ἀνθρωποπρεπῶς αὐτῷ ἐπὶ γῆς ἱερούργησας· νῦν δὲ τῆς ὕλης λυθείς, τῆς Οὐρανίου ἱεραρχίας, τὴν ὑπερκόσμιον ἐνέργειαν εἴληφας, ἐν πρώτῃ μετουσίᾳ τῆς γνώσεως, δι' ἀκραιφνοῦς καὶ ἀύλου νοός, Ἀγγελοπρεπῶς, λειτουργῶν τῷ τελετάρχῃ Ἰησοῦ· ᾧ καὶ πρεσβεύεις ἀδιαλείπτως, δωρηθῆναι

Digitized by Google

εἰρήνην τῷ κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος Γ'.

Ἡ τοῦ ἁγίου Πνεύματος παντοδύναμος χάρις, εὗροῦσα τὴν ἱεράν σου ψυχήν, ἱεράρχα Ἀντίπα, πρὸς ἔλεον τῶν ἀδελφῶν, καὶ συμπάθειαν ῥέπουσαν, τὴν χάριν τῶν ἰαμάτων δαψιλῶς σοι ἐχαρίσατο· ἵνα καὶ τὸν ἔλεον τοῖς δεομένοις, ἀφθονώτερον ἐπιδείξῃς· δι' ἧς πάθη ποικίλα θεραπεύεις ἑκάστοτε, καὶ ἐξαιρέτως τῆς τῶν ὀδόντων ὀδύνης, ἀπαλλάττεις τοὺς πάσχοντας, καὶ πρεσβεύεις ἐκτενῶς τῷ Κυρίῳ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, Ἦχος Δ'.

Ἐκκαθάρας σου τὸν νοῦν πάσης ὑλικῆς προσπαθείας, Ἀντίπα Θεσπέσιε· τὴν δὲ ψυχὴν ἡδυπαθείας, καὶ τὸ σῶμα τῆς ἐμπαθείας, κατοικητήριον γέγονας τοῦ ἀκενώτου μύρου Χριστοῦ τοῦ Θεοῦ, τοῦ ἐν γῇ κενωθέντος δι' ἀγαθότητα, καὶ τὸν κόσμον εὐωδιάσαντος· ὅθεν καὶ μετὰ θάνατον, μῦρα βλύζειν κατηξιώθης, ἐκ τοῦ ἱεροῦ καὶ ἁγίου Λειψάνου σου· σύμβολον δὲ τοῦτο καὶ τεκμήριον ἐναργέστατον, τῆς ἀκραιφνοῦς ἁγνείας καὶ παρθενίας ὑπάρχει· ἧς καὶ ἡμᾶς μετασχεῖν καταξίωσον, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Καὶ νῦν, Ἐκ παντοίων κινδύνων. Εἰς τὸν στίχον στιχηρὰ Προσόμοια,

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ ἱεράρχης Χριστοῦ, ὁ τῆς Περγάμου, φαεινότατος πρόεδρος· ἡ στήλη θεοσοφίας, διδασκαλίας πηγή, νεκταρῶδες νᾶμα ἡ προχέουσα· ποιμὴν θεοπρόβλητε, ὁ σκηνώσας τὸ ποίμνιον, εἰς τόπον χλόης, πρακτικῆς καὶ εἰς ὕδατα, θείας γνώσεως, διαθρέψας ἀοίδιμε. Αἴτησαι ἐκτενέστερον, Ἀντίπα τὸν Κύριον, τῶν ὀφθαλμάτων τὴν λύσιν, καὶ τῶν ὀδόντων τὴν ἴασιν, ἡμῖν δωρηθῆναι, τοῖς ἐν πίστει ἐκτελοῦσι τὴν θείαν μνήμην σου.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν.

Χαίροις ὁ πιστὸς μάρτυς Χριστοῦ, τῆς συμπαθείας, ὁ κρουνὸς ὁ ἀένναος· ἐλέους ἄφθονον ῥεῖθρον· τῶν ἱερῶν ἀρετῶν, τὸ τερπνὸν καὶ θεῖον ἐνδιαίτημα· ἰάσεων πέλαγος· πλημμυροῦν τοῖς προστρέχουσι, σεπτῷ ναῷ σου. Ἀποστόλων ὁ σύγχρονος, καὶ ἐφάμιλλος, γεγονὼς ἱερώτατε· αἴτησαι ἐκτενέστερον, Ἀντίπα τὸν Κύριον, τῶν ὀφθαλμάτων τὴν λύσιν, καὶ τῶν ὀδόντων τὴν ἴασιν, ἡμῖν δωρηθῆναι, τοῖς ἐν πίστει ἐκτελοῦσι τὴν θείαν μνήμην σου.

Στίχ. Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην.

Χαίροις ὁ μυρορρόας Χριστοῦ, μῦρα εὐώδη, ὁ ἐκβλύζων σῆς κόνεως, καὶ τούτοις πᾶσαν μυρίζων, τὴν Ἐκκλησίαν Θεοῦ, ῥοαῖς πανευόσμοις τῶν χαρίτων σου, δυσώδη παθήματα, τῶν ὀδόντων ἰώμενος, καὶ θεραπεύων, τὰς ψυχὰς καὶ τὰ σώματα, τῶν ἐκ πόθου σοι, προστρεχόντων καὶ πίστεως· μύρισον οὖν τοῖς μύροις σου, ἡμᾶς τοὺς τιμῶντάς σε, μεμυρισμένους ἐν ὕμνοις, καὶ δυσωδίαν ἀπέλασον, κακίας ἁπάσης, ἀρετῶν δὲ εὐωδίας ἅπαντας πλήρωσον.

Δόξα, Ἦχος πλ. δ'.

Δεῦτε φιλομάρτυρες πάντες πνευματικὴν χορείαν στησάμενοι, Ἀντίπαν τὸν θεομαρτύρητον μακαρίσωμεν· τὴν πλήρη φρονήσεως πολιάν· τὸν πιστὸν μάρτυρα τοῦ Χριστοῦ· τὸν πύργον τῆς εὐσεβείας, καὶ τῆς ἐν Περγάμῳ Ἐκκλησίας τὸν φαεινότατον ἀστέρα· οὗτος γὰρ ἀποστολικοῖς ἠγλαϊσμένος χαρίσμασι, καὶ τὴν ἐξ ὕψους δύναμιν ἐνδεδυμένος τοῦ ἁγίου Πνεύματος, κατὰ τῶν ἀκαθάρτων πνευμάτων τὸ κράτος ἐκτήσατο, καὶ ταῦτα πόρρω τῆς Περγάμου ἐδίωξεν· ἀποκτανθεὶς δὲ διὰ Κύριον, χάριν ἐξαίρετον εἴληφε, τὰς ἀλγηδόνας ἰατρεύειν τῶν ὀδόντων, τῶν μετὰ πίστεως ἐπικαλουμένων αὐτὸν, καὶ τελούντων ἐκ πόθου, τὴν ἱερὰν αὐτοῦ ἄθλησιν.

Καὶ νῦν, Δέσποινα πρόσδεξαι.

Ἀπολυτίκιον ἦχος Α'. Τῆς ἐρήμου πολίτης

Μυροβλύτην τὸν θεῖον, καὶ μαρτύρων τὸν σύναθλον, τὸν πανευκλεῆ ἱεράρχην καὶ Περγάμου τὸν πρόεδρον, τιμήσωμεν Ἀντίπαν οἱ πιστοὶ, ὡς τάχιστον καὶ μέγαν ἰατρὸν, τῆς δεινῆς ὀδόντων νόσου καὶ πρὸς αὐτὸν, ἀπὸ ψυχῆς βοήσωμεν. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ. Δόξα τῷ σὲ στεφανώσαντι. Δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα·

Δόξα ἕτερον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν ἰσαπόστολον Χριστοῦ Ἱεράρχην, καὶ ἀθλητὴν παναληθῆ τοῦ Σωτῆρος, καὶ ἰατρὸν πανάριστον τῶν νόσων ἐν ὠδαῖς, ἅπαντες τιμήσωμεν, πρὸς αὐτὸν ἐκβοῶντες· πρόφθασον καὶ λύτρωσαι, τῆς ὀδόντων ὀδύνης, τῆς ἀφορήτου ἣν σε ἀεὶ, ὡς εὐεργέτην Ἀντίπα γεραίρωμεν.

Καὶ νῦν, Θεοτοκίον.

Digitized by Google

Μετὰ τὴν ά. Στιχολογίαν Κάθισμα Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Ὡς ἥλιος λαμπρὸς, ὡς ἀστὴρ ἑωσφόρος, ἡ μνήμη σου σοφὲ, ἱεράρχα Ἀντίπα, ἐπέλαμψε τοῖς πέρασι, καὶ πιστῶν κατεφώτισε, τὴν διάνοιαν, ταῖς τῶν θαυμάτων ἀκτῖσι· καὶ κατηύφρανε, τῶν σὲ τιμώντων ἐκ πόθου, καρδίας ἀοίδιμε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Μαρία ἡ τὰς τρεῖς, ἀνηκούστους ἑνώσεις, ἑνώσασα φρικτῶς, Παρθενίαν καὶ τόκον. Θεόν τε καὶ τὸν ἄνθρωπον, πίστιν τε καὶ πιστεύουσαν, τοῖς φρικώδεσι, τούτοις καρδίαν ἀνθρώπου, ἡμᾶς ἕνωσον, τῇ τοῦ Υἱοῦ σου ἀγάπῃ, καὶ σῶσον Πανύμνητε.

Μετὰ τὴν β'. Στιχολογίαν κάθισμ. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Θαυμαστὸν ὡς ἀληθῶς, κλέος σοι Μάρτυς προξενεῖ, ὃν ἐξεῖπε περὶ σοῦ, Λόγος Χριστὸς ὁ Βασιλεὺς, ἀνακηρύττων σε Μάρτυρα στεφηφόρον, βαστάσαντα αὐτοῦ θεῖον ὄνομα, ὁ θρόνος Σατανᾶ ὅπου ἵστατο, καὶ δι' αὐτὸν στερρῶς ἀποκτανθέτα, Ἀντίπα Θεομαρτύρητε· ὅθεν σὲ πάντες, ἀνευφημοῦμεν, ἱεροῖς μελῳδήμασιν.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Ἀπειρόγαμε Ἁγνὴ, πῶς συλλαμβάνεις ἐν γαστρὶ, τὸν ἁπάντων τὴν πνοὴν, περιλαμβάνοντα χερσί; φράσον ἡμῖν τὸν λόγον τοῦ μυστηρίου σου. Πανάληθές ἐστι τοῦτο, ὦ ἄνθρωπε, καὶ παῦσαι ἐρευνῶν τὸ ἀκατάληπτον, ὕψος καὶ βάθος μῆκος καὶ πλάτος, τῆς ἀπορρήτου λοχείας μου· νικᾷ γὰρ τοῦτο, ἔννοιαν πᾶσαν, τῶν βροτῶν καὶ Ἀγγέλων.

Μετὰ τὸν Πολυέλεον κάθισμ. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐξ ἑώας ἔλαμψας, Μάρτυς Ἀντίπα, καὶ τὴν Κτίσιν ἅπασαν, καταφωτίζεις νοητῶς, βολαῖς τῶν θείων θαυμάτων σου, καὶ ἰαμάτων ταῖς χάρισιν ἐνδοξε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Ἐπληγώθην πάθεσιν, ἰάτρευσόν με, ἐν κακοῖς ἀπόλλυμαι, σῶσόν με Μήτηρ τοῦ Θεοῦ, ἡ τὸν Σωτῆρα κυήσασα, καὶ ἰατῆρα τῶν νόσων Πανύμνητε.

Οἱ ἀναβαθμοὶ τὸ ά. Ἀντίφωνον τοῦ δ'. Ἦχου. Προκείμενον. Τὸ στόμα μου λαλήσει σοφίαν.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, Εὐαγγέλιον ζήτει τὸ τοῦ Χρυσοστόμου. ὁ Ν.

Δόξα, ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεὸς, Ἦχ. π.λ. β'.

Ἱερομάρτυς Ἀντίπα, σὺ κοινωνὸς ἐπὶ γῆς τῶν παθημάτων τοῦ Χριστοῦ, χρηματίσας τὸ πρότερον, εἰκότως καὶ τῆς δόξης νῦν ἐν Οὐρανοῖς, αὐτῷ συμμέτοχος γέγονας, καὶ τῇ ἀρχιφώτῳ Θεότητι τῇ ἐν Τριάδι γνωριζομένῃ, ἀμέσως παρίστασαι· διό σου δεόμεθα, κοινωνοὺς τῆς σῆς δόξης, καὶ ἡμᾶς γενέσθαι ἀξίωσον, τοὺς ἐκ πόθου τελοῦντας, τὴν ἐτήσιον μνήμην σου.

Κοντάκιον πρὸς τὸ, Τῇ ὑπερμάχῳ.

Τὸν Ἱεράρχην καὶ κλεινὸν Μεγαλομάρτυρα, τὸν πολιοῦχον τῆς Περγάμου τὸν πανάριστον, καὶ ἐχθροῦ κοινοῦ ἀντίπαλον τὸν Ἀντίπαν, κατὰ χρέος εὐφημήσωμεν ἐν ᾄσμασιν, ὡς τοὺς πάσχοντας ὀδόντας θεραπεύοντα, πόθῳ κράζοντες, χαίροις Πάτερ τρισόλβιε.

Ἕτερον. Ἡ Παρθένος σήμερον.

Θείαν χάριν εἴληφας, παρὰ Χριστοῦ Ἱεράρχα, θεραπεύειν ἅπασαν, τὴν τῶν ὀδόντων ὀδύνην· ὅθεν μοι, τῷ σῷ οἰκέτῃ ταύτης μετάδος, πάσχοντι, καὶ κεκμηκότι ταῖς ἀλγηδόσιν, ἵνα κράζω σεσωσμένος, χαίροις Ἀντίπα, πιστῶν ἀγαλλίαμα. Ὁ Οἶκος.

Τὸ πανάγιον Πνεῦμα, τὸ διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται τὰ ἑαυτοῦ χαρίσματα, ὥσπερ Ἀρτεμίῳ τὴν χάριν τῆς ἰάσεως, τῆς κήλης τῶν διδύμων ἐχαρίσατο, καὶ Χαραλάμπει τῆς ἀσθενείας τοῦ λοιμοῦ. Μοδέστῳ δὲ, τὴν τῶν ζώων φυλακὴν ἐπρυτάνευσε, καὶ Τρύφωνι τὴν τῶν κήπων, καὶ Στυλιανῷ τὴν τῶν παίδων. Οὕτω καὶ σοὶ, τὴν θεραπείαν τῆς ἀφορήτου τῶν ὀδόντων ὀδύνης ἐχαρίσατο, Ἀντίπα Θεομαρτύρητε· ὅθεν οἱ πάσχοντες, τὸ σὸν μόνον ἐπικαλούμενοι ὄνομα, σωτῆρα καὶ ἰατρὸν τῆς ὀδονταλγίας εὑρίσκουσιν ὀξύν τε καὶ ἄμισθον, καὶ διὰ τοῦτο ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, περιβόητος ἐγένου τοῖς θαύμασι, καὶ τῆς τῶν πιστῶν γλώσσης ᾠδὴ ὑπάρχεις ἐντρύφημα, ὕμνοις καὶ ᾠδαῖς γεραιρόντων τὴν μνήμην σου, καὶ πόθῳ ἀναχραζόντων σοι, χαίροις Ἀντίπα πιστῶν ἀγαλλίαμα.

Ἐξαποστειλάριον, Γυναῖκες ἀκουτίσθητε.

Μεγάλως σε ἐδόξασεν, ἐπὶ τῆς γῆς ὁ Κύριος, Ἀντίπα Ἱερομάρτυς, κρήνην τὸ σῶμά σου δείξας, μύρου εὐώδους ἔνδοξε, ὅπερ βλύζον

Digitized by Google

ἄένναον, πάθη ψυχῆς καὶ σώματος, τῶν ἀδιστάκτῳ καρδίᾳ, σοὶ προστρεχόντων ἰᾶται.

Θεοτοκίον.

Μαρία ὁ χρυσόπλοκος, τῆς Θεότητος θάλαμος, εὐγένεια βροτῶν γένους, ἡ κοσμήσασα Κόσμου, τὴν ἀκοσμίαν κόσμησον, τῆς ψυχῆς μου τὸ ἄκοσμον, τῆς ἐκ πόθου καὶ πίστεως, κοσμούσης σε ἐν εὐκόσμοις, ὑμνολογίαις Παρθένε.

Εἰς τοὺς Αἴνους ἱστῶμεν Στίχ. δ'. καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια Ἦχος ά.

Τῶν Οὐρανίων ταγμάτων.

Τοῦ Ἱεράρχου Ἀντίπα, δεῦτε συνέλθωμεν, ἐν τῷ ναῷ τῷ θείῳ, καὶ αὐτοῦ τὴν Εἰκόνα, τὴν πάνσεπτον σὺν φόβῳ, καὶ χαρμονῇ, προσκυνήσωμεν ἅπαντες, καθικετεύοντες τοῦτον πάσης ὀργῆς, καὶ ἀνάγκης ἡμᾶς ῥύεσθαι.

Θυσίαν πρότερον μάκαρ τῷ Παντοκράτορι, τὴν μυστικὴν προσάγων, ὥσπερ θύτης Κυρίου, ὕστερον θυσίαν καὶ λογικόν, ὁλοκαύτωμα Ἅγιε, σαυτὸν προσήγαγες τούτῳ διὰ πυρός, ὥσπερ Μάρτυς ἐννομώτατος.

Πλουσίαν χάριν τρισμάκαρ, Ἀντίπα εἴληφας, παρὰ Χριστοῦ τὰς νόσους, τῶν ψυχῶν καὶ σωμάτων, ἰᾶσθαι καὶ ἐξόχως, τὰ ἀλγεινὰ, τῶν ὀδόντων παθήματα· διὸ θεράπευσον Ἅγιε καὶ ἡμᾶς, τοὺς κατ' ἄμφω δεινῶς πάσχοντας.

Τοῖς Ἀποστόλοις συνήφθης, ὡς Ἰσαπόστολος, τοῖς Μάρτυσιν ὡς Μάρτυς, Ἱεράρχαις τε πᾶσιν, Ἀντίπα Θεοφόρε, ὡς εὐκλεὴς, Ἱεράρχης καὶ ἔνθεος, καὶ τὸν Χριστὸν ἱκετεύεις ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου εὐφημούντων σε.

Δόξα, Ἦχος πλ. ά.

Σαλπίσωμεν ἐν σάλπιγγι ἀσμάτων, χορεύσωμεν τῷ πνεύματι, καὶ κροτήσωμεν εὐφραινόμενοι, ἐν τῇ πανδήμῳ πανηγύρει τοῦ Ἱεράρχου Χριστοῦ. Ἱερεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν τῶν θαυμάτων δεξάμενον τὴν χάριν, καὶ ταῦτα τοῖς χρήζουσιν ἐκχέοντα ποταμηδὸν, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς εὐφημείτωσαν, οἱ πένητες τὸν βοηθὸν, οἱ δαιμονῶντες τὸν ῥύστην, οἱ ἐν συμφοραῖς τὸν σωτῆρα, οἱ νοσοῦντες τὸν ἰατρὸν, οἱ ὀδονταλγοῦντες τὴν θεραπείαν, οἱ πλημμελοῦντες τὸν θερμὸν πρέσβυν, οἱ ὁδοιπόροι τὸν συνοδίτην, οἱ πάντες τὸν πάντα πᾶσι γινόμενον, μέγιστον Ἱεράρχην, ἐγκωμιάζοντες οὕτως εἴπωμεν: Ἀντίπα Ἰσαπόστολε, μεσίτευσον ὑπὲρ ἡμῶν, πρὸς τὸν Θεὸν καὶ Δεσπότην, καὶ ῥῦσαι κολάσεως τοὺς ἱκετεύοντας σοι.

Καὶ νῦν, Μακαρίζομέν σε Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου Ὀδὴ γ'. καὶ ς'. Ἀπόστολον ζήτει Κυριακῇ μετὰ τὰ Φῶτα. Ἀδελφοὶ ἐπὶ ἑκάστῳ ἡμῶν. Εὐαγγέλ. ζήτει Φεβρουαρ. ιά. τοῦ Ἁγίου Βλασίου.

ΜΕΓΑΛΥΝΑΡΙΑ.

Ἔχει τὸ σὸν πνεῦμα ὁ Οὐρανὸς, σῶμα δὲ τὸ θεῖον, ἐν Περγάμῳ τῇ θαυμαστῇ, πόλει καλουμένῃ, βλύζον ἄφθονα μῦρα, καὶ θαύματα πηγάζον, Ἀντίπα μέγιστε.

Ὁ Περγάμου πρόεδρος καὶ φρουρὸς, καὶ τῆς εὐσεβείας, Θεορρήμων ὑφηγητὴς, ὁ τῶν Ἀποστόλων ὁμόχρονος καὶ σύμπνους, τιμάσθω μοι Ἀντίπας ὁ ἱεροάθλος.

Τὸν ἐν χαλκουργήματι Ἀθλητὴν, πυρώσει βληθέντα, δι' ἀγάπην τοῦ Ἰησοῦ, τὸν ὀδοντοσώστην Ἀντίπαν τὸν Περγάμου, ποιμένα πόθῳ πάντες ἀνευφημήσωμεν.

Ἔχοντες Εἰκόνα σου τὴν σεπτὴν, Ἀντίπα τρισμάκαρ, ὡς προπύργιον ὀχυρὸν, προσφεύγομεν ταύτῃ ἐν πᾶσι τοῖς κινδύνοις, καὶ πόνου τῶν ὀδόντων ἀπολυτρούμεθα.

ΕΥΧΗ ΙΚΕΤΗΡΙΟΣ. [1]

ΠΡΟΣ ΤΟΝ ΑΓΙΟΝ ΤΡΥΦΩΝΑ,

Ἐὰν συμβῇ βλάπτεσθαι τὰ χωράφια καὶ κήπους καὶ ἀμπελῶνας ὑπὸ ἑρπετῶν καὶ ἀκρίδων καὶ ζωϋφίων.

Πρῶτον γενέσθω ἡ τάξις ἡ διοριζομένη ἐν τῷ Εὐχολογίῳ, καὶ λεγέσθω ὑπὸ τοῦ Ἱερέως ἡ ἐκεῖ γεγραμμένη Εὐχή. Εἶτα λεγέσθω ὑπ' αὐτοῦ καὶ ἡ πρὸς τὸν ἅγιον Τρύφωνα δέησις αὕτη, μετὰ εὐλαβείας πίστεώς τε καὶ κατανύξεως.

Πανένδοξε Μάρτυς τοῦ Χριστοῦ, καὶ στρατιῶτα τοῦ ἐπουρανίου Βασιλέως Τρύφων παῤ-

---

[1] Ἡ Εὐχὴ αὕτη ἐτέθη ἐνταῦθα, καὶ οὐχὶ ἐν τῷ τέλει τοῦ Φεβρουαρίου καθὼς γράφεται ἐν τῇ ὑποσημειώσει τῆς πρώτης ψεβρουαρίου.

Digitized by Google

μακάριστε, τῆς ἀκηράτου τρυφῆς ὁ ἐπώνυμος· ὁ γενναίως τὸν Χριστὸν ἐπὶ τῆς γῆς ὁμολογήσας, καὶ διὰ τοῦτο νῦν ἐν Οὐρανοῖς τῆς ἀϊδίου ἀπολαύων μακαριότητος, καὶ μετὰ παρρησίας τῷ θρόνῳ τῆς τρισηλίου Θεότητος παριστάμενος. Σοῦ τῇ μαρτυρικῇ μεγαλειότητι προστρέχομεν μετὰ Θεὸν, πάντες ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου· καὶ ἱκετεύομεν τὴν συμπαθεστάτην καὶ χριστομίμητόν σου φιλανθρωπίαν, ἵνα, σπλαγχνισθεὶς ἐφ' ἡμᾶς τοὺς ἐν ἀνάγκῃ ὄντας καὶ περιστάσει, ἀποδιώξῃς μακρὰν τῶν Χωραφίων, καὶ Κήπων, καὶ Ἀμπελώνων ἡμῶν, πάντα τὰ ἑρπετὰ, καὶ ἀκρίδας, καὶ κάμπας, καὶ πολυειδῆ ζωύφια καὶ θηρία, τὰ βλάπτοντα τοὺς καρποὺς, καὶ φύλλα, καὶ ῥίζας τῶν δένδρων, καὶ πάντων τῶν λαχάνων τε καὶ γεννημάτων καὶ ὀσπρίων ἡμῶν. Σὺ γὰρ ἐξαίρετον καὶ ἰδιαιτέραν εἴληφας τὴν χάριν ταύτην, πολύαθλε, παρὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Οὐ μόνον πρώην ἔτι ζῶν, διὰ τὴν θεάρεστον πολιτείαν σου, ἀλλὰ πολλῷ μᾶλλον νῦν μετὰ θάνατον, διὰ τὸ μαρτυρικὸν καὶ δι' αἵματος τέλος, ὃ ὑπὲρ τῆς αὐτοῦ ὁμολογίας καὶ πίστεως ὑπέμεινας.

Ναὶ, ὁμολογοῦμεν, ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν ταύταις ταῖς συμφοραῖς παρεδόθημεν, καὶ τῇ τοῦ Θεοῦ ὀργῇ ὑπεπέσαμεν, ἀλλὰ σὺ, γενναῖε Ἀθλητὰ, εἰ μόνον θελήσεις τῇ μαρτυρικῇ σου παρρησίᾳ χρήσασθαι, πιστεύομεν ὅτι ῥαδίως κατασβέσεις τὴν καθ' ἡμῶν ἐξαφθεῖσαν ταύτην τοῦ Θεοῦ ἀγανάκτησιν, καὶ τὴν ἀθυμίαν ἡμῶν εἰς εὐθυμίαν μεταποιήσεις. Ὅθεν ἐπειδὴ διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν ἡμῶν οὐκ ἔχομεν παρρησίαν στῆναι ἐνώπιον τῆς ἀθλοφορικῆς σου δόξης, καὶ ἀμέσως τὴν ἱκεσίαν ποιήσασθαι· διὰ τοῦτο μεσίτην ἀντὶ ἡμῶν σοὶ προβαλλόμεθα, αὐτό σου τὸ αἷμα, ὃ ὑπὲρ Χριστοῦ ἐξέχεας, πανεύφημε, καὶ αὐτὰ τὰ μαρτυρικὰ ἀγωνίσματα, ἅπερ ὑπήνεγκας ἐν τῷ ἀθλητικωτάτῳ σου σώματι.

Ἔπιδε τοίνυν, εὐσπλαγχνικώτατε Μάρτυς ἐπ' αὐτὰ, δι' ὧν τὸν Χριστὸν ὡμολόγησας, καὶ τὸν ἀμαράντινον τοῦ μαρτυρίου ἔλαβες στέφανον, καὶ ἐπάκουσον τῆς δεήσεως ἡμῶν τῶν ταπεινῶν οἰκετῶν σου, καὶ τῆς ἐνεστώσης ἀνάγκης τῶν ἑρπετῶν καὶ ἀκρίδων καὶ θηρίων καὶ πολυειδῶν ζωϋφίων, τῶν λυμαινομένων τοὺς καρποὺς τῶν Χωραφίων καὶ Ἀμπελώνων καὶ Κήπων ἡμῶν ἀπολύτρωσαι· ὅτι κινδυνεύομεν ὑπ' αὐτῶν λιμῷ καὶ θανάτῳ καὶ παντελεῖ παραδοθῆναι ἀφανισμῷ, ἡμεῖς τε καὶ πᾶσα ἡ ὕπαρξις ἡμῶν, ἐὰν μὴ οἱ οἰκτιρμοί σου ταχέως ἡμᾶς προκαταλάβωσιν· ἵνα διὰ τῆς σῆς ὀξείας προστασίας τοῦ ἐπικειμένου κινδύνου ἀπαλλαγέντες, ἀκαταπαύστως καὶ χρεωστικῶς τὸ σὸν μεγαλύνωμεν ὄνομα, σωτῆρα ἡμῶν καὶ εὐεργέτην καὶ ἀντιλήπτορα μετὰ Θεὸν σὲ ἐπιγραφόμενοι· καὶ διὰ σοῦ δοξάζωμεν τὸν κοινὸν Δεσπότην, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἐν γῇ καὶ Οὐρανῷ σὲ δοξάσαντα. Ὧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν. (Ὅρα εἰς τὴν πρώτην τοῦ Φεβρουαρίου, ὅτε ἑορτάζεται ὁ Ἅγιος Τρύφων.)

Εἶτα λεγέσθω ἡ τοῦ Ἁγίου Τρύφωνος Εὐχή· «Ὄντος μου ἐν Καμψάδου κώμῃ, καὶ τὰ ἑξῆς μέχρι τέλους. Ἂς ἀναφέρεται δὲ ἐν τῷ τέλει καὶ τὸ ὄνομα τοῦ Ἁγίου καὶ ὁμολογητοῦ Εὐσχήμου, ἐπισκόπου Λαμψάκων, διότι καὶ αὐτὸς ἔλαβε χάριν παρὰ Θεοῦ, νὰ διώκῃ μὲ μόνην τὴν προσταγήν του, τὰ θηρία ἐκεῖνα, τὰ ὁποῖα κατατρώγουσι τὰ χλοηφόρα λάχανα, ὅρα εἰς τὸ Συναξάριόν του κατὰ τὴν δεκάτην τετάρτην τοῦ Μαρτίου. Ὁμοίως ἂς ἀναφέρεται καὶ τὸ ὄνομα τοῦ ἁγίου Μέμνονος τοῦ θαυματουργοῦ, τοῦ κατὰ τὴν δεκάτην ἐννάτην Μαΐου ἑορταζομένου, ὅστις ἔλαβε χάριν νὰ διώκῃ τὰς ἀκρίδας, ὡς ἐν τῷ Συναξαρίῳ ἐκείνου ὁρᾶται.

ΤΡΟΠΑΡΙΑ.

Τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν

ΚΥΡΙΛΛΟΥ

Ἀρχιεπισκόπου Ἀλεξανδρείας

Ψαλλόμενα τῇ Θ'. τοῦ Ἰουνίου μηνὸς, ὑπὸ τῶν βουλομένων ἑορτάζειν τὴν μνήμην αὐτοῦ.

Ἑσπέρας εἰς τὸ Κύριε κέκραξα ἱστῶμεν. Στίχ. Η'. καὶ ψάλλομεν Στιχ. Προσόμοια.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν. Παλαιά.

Φρυκτωρίαις τοῦ Πνεύματος, ἐλλαμφθεὶς τὴν διάνοιαν, φωτοβόλος ἥλιος ἐχρημάτισας, ὥσπερ ἀκτῖνας τὰ δόγματα, εἰς πάντα τὰ πέρατα, ἀποστέλλων καὶ πιστῶν, καταυγάζων πληρώματα, Πάτερ Κύριλλε, καὶ διώκων τὸ σκότος θεοφόρε, τῶν αἱρέσεων δυνάμει, τοῦ ἐκ Παρθένου ἐκλάμψαντος.

Εὐφραδείᾳ τῶν λόγων σου, Ἱερώτατε Κύριλλε, Ἐκκλησία ἅπασα ὡραΐζεται, καὶ εὐσεβῶς καλλωπίζεται, ὡραίοις ἐν κάλλεσι, καὶ τιμᾷ σου ἱερῶς, τὴν Ἁγίαν Μετάστασιν, παναοίδιμε, Ἱερέων τὸ κλέος, τῶν Πατέρων, κορυφαῖε τῆς Συνόδου, τῆς Παναγίας ὑπέρμαχε.

Digitized by Google

Τοῖς πυρίνοις σου δόγμασι, τῶν αἱρέσεων ἅπασα, φρυγανώδης φλέγεται ὕλη πάνσοφε, τῶν νοημάτων τοῖς βάθεσι, βυθίζεται στράτευμα, ἀπειθούντων δυσσεβῶν, Ἱερώτατε Κύριλλε, σοῖς διδάγμασι, καλλωπίζεται μάκαρ καθ' ἑκάστην, τῶν πιστῶν ἡ Ἐκκλησία, μεγαλοφώνως τιμῶσά σε.

Τῆς Χριστοῦ ἀπεδίωξας, νοητοὺς λύκους Κύριλλε, Ἐκκλησίας σκίπωνι τῶν δογμάτων σου, καὶ ταύτην κύκλῳ ἐτείχισας, λόγων ὀχυρώμασι, παραστήσας τῷ Χριστῷ, ἀσινῆ καὶ ἀλώβητον. Ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Ἕτερα Στιχ. Προσόμοια Νέα.

Ἦχος ά. Παιᾴφημοι Μάρτυρες ὑμᾶς.

Αἰγύπτου ῥωστῆρα καὶ παντὸς, Κόσμου τὸν Διδάσκαλον, τῆς Ἀλεξάνδρου τὸν πρόεδρον, Ἐφέσου καύχημα, Κύριλλον τὸν μέγαν, οἱ τούτου τοῖς δόγμασιν, ἑπόμενοι ἐν ὕμνοις τιμήσωμεν, καὶ τούτῳ κράζωμεν, Ἱεράρχα πανσεβάσμιε, πάσης βλάβης, ἡμᾶς ἀπολύτρωσαι.

Κριτὴς Οἰκουμένης ἀληθῶς, πάνσοφε γεγένησαι, Πατὴρ Πατέρων θεόπνευστε, ποιμὴν ποιμένων τε, Πάπας Πατριάρχης, θεορόρε Κύριλλε· πολλὰς γὰρ ἀρετῇ σοι πεποίηκε, τὰς κλήσεις Ἅγιε· διὸ πάντες σὲ γεγαίρομεν, καὶ τὴν μνήμην, τὴν σὴν ἑορτάζομεν.

Χάρις ἡ τοῦ Πνεύματος ἐν σοῖς, ἐξεχύθη χείλεσι, πλουσιωτάτη ἀοίδιμε· ὅθεν γεγένησαι, μέγας θεολόγος, τῆς Τριάδος Κύριλλε· καὶ λόγου τὴν φρικτὴν ἐνανθρώπησιν, σὺ ἐδογμάτισας, ἀκριβῶς τοῖς θείοις λόγοις σου· κατὰ χρέος, διό σε δοξάζομεν.

Ὀνοματοθέτης προσφιλὴς, τῆς παρθένου γέγονας, μακαριώτατε Κύριλλε· σὺ γὰρ ἐκήρυξας, αὐτὴν Θεοτόκον, Πατέρων ἐνώπιον· τὸν δὲ ἀνθρωπολάτρην Νεστόριον, ὡς βλασφημήσαντα, κατ' αὐτῆς παραφρονέστατα, τοῖς πανσόφοις, λόγοις σου κατήσχυνας.

Δόξα, Ἦχος δ'. Νέων.

Τὴν παντευχίαν τῆς πίστεως ἐνδυσάμενος, θεσπέσιε Κύριλλε, καὶ τὴν τοῦ Πνεύματος μάχαιραν, περιζωσάμενος καλῶς, τὰ τῶν Γραφῶν θεοπαράδοτα λόγια, πρὸς συμπλοκὴν τῶν γλωσσαλγούντων, αἱρεσιαρχῶν ἐξελήλυθας. Ὅθεν τὴν καθ' ὑπόστασιν ἕνωσιν, τῶν τοῦ Χριστοῦ δύω φύσεων δογματίσας, τὴν τῶν Υἱῶν δυάδα τοῦ Νεστορίου, καὶ τὴν τῶν φύσεων σύγχυσιν τοῦ Διοσκόρου, κατέβαλες ὡς ἄλλος Φινεὲς, τῷ ἑνὶ σειρομάστῃ συνεκκεντήσας, τὰ ἐκ διαμέτρου κακὰ, καὶ ὁμότιμα τὴν δυσσέβειαν, καὶ νίκην παρέσχες, τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ σωτηριώδη, ὑπὲρ ἧς ἐν Οὐρανοῖς, ἱερονίκοις στεφάνοις τὴν κεφαλὴν ἐγκοσμούμενος, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, Ὁ διὰ σὲ θεοπάτωρ· τὸ, Φῶς ἱλαρὸν, τὸ Προκείμενον τῆς ἡμέρας· καὶ τὰ Ἀναγνώσματα, ζήτει τὰ τοῦ Θεολόγου Γρηγορίου Ἰανουαρίου κέ.

Εἰς τὴν Αἰτήν. Ἦχος ά. Νέα.

Χαίροις ἐν Κυρίῳ θεσπέσιε Κύριλλε, ὁ πολλοὺς ἀγῶνας ὑποστὰς, ὑπὲρ τῆς καθολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ ἐν Οὐρανοῖς πλουσίαν ἀπολαβὼν τὴν ἀντάμειψιν· τὸν γὰρ Ἰουδαιόφρονα Νεστόριον, ὡς λυμεῶνα θῆρα καὶ μονιὸν ἄγριον, τὴν τοῦ Κυρίου κατανεμόμενον ἀμπελον, ἣν ἐξ Αἰγύπτου μετῆρε τῆς νοητῆς ἀθεότητος· σὺ ἐξ Αἰγύπτου ὁρμήσας, τῇ σφενδόνῃ τῶν ὀρθῶν σου δογμάτων πόρρω ἀπήλασας· καὶ ταύτην εὐκληματοῦσαν καὶ καρποφόρον, πᾶσαν ἀληθινὴν, τοῖς πανσόφοις σου λόγοις ἀνέδειξας, ἣν καὶ νῦν, Χριστὸν ἐκδυσώπει μακάριε, ἀραρότως ἐμμένειν ταῖς θείαις διδασκαλίαις σου.

Ἦχος β'.

Ποιμὴν ἀληθὴς, καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μιμητὴς, ἀνεδείχθης θεόσοφε Κύριλλε· ὅθεν τοὺς μὲν Ναυατιανοὺς, τῇ Ἀλεξανδρείᾳ ἐπιπολάσαντας, διὰ τῆς ποιμαντικῆς σου προστασίας ἐδίωξας, καὶ τῆς ψώρας αὐτῶν, τὴν σὴν ποίμνην ἀπήλλαξας, τοὺς δὲ θεοκτόνους Ἰουδαίους, ὡς αἱμοβόρους λύκους, λυμαινομένους τὰ λογικά σου πρόβατα, ζήλῳ θείῳ χρησάμενος, τῆς Ἀλεξανδρέων ἐξέβαλες πόλεως· καὶ νῦν ἐν Οὐρανοῖς, ὡς τὴν ψυχήν σου θεὶς ὑπὲρ τῶν προβάτων, ἀντάξια κομίζῃ τὰ ἔπαθλα, παρὰ Χριστοῦ καὶ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ'.

Τίς μὴ δοξάσει; ἢ τίς μὴ ἀξίως μακαρίσει, τὸν μέγαν Ἀρχιερέα καὶ διδάσκαλον Κύριλλον; ὃν ἡ Ἁγία Τριὰς ἐμακάρισεν; οὗτος γὰρ τῆς καθόλου Ἐκκλησίας ἀνεδείχθη διδάσκαλος περιώνυμος· στῦλος τῆς εὐσεβείας ἀκλόνητος· κανὼν ἀληθείας ὀρθότατος, τῆς Τρίτης Οἰκουμενικῆς Συνόδου ὁ ἔξαρχος, τῆς ἀπάτης τῶν δαιμόνων ἐκριζωτὴς, τῶν αἱρετικῶν καταλύ-

Digitized by Google

της, πεπλανημένων ὁδηγὸς, κοινὸς Πατὴρ τῶν πιστῶν, τῶν συνωνυμούντων αὐτῷ προστάτης, τῆς Ἀλεξανδρείας τὸ κλέος, καὶ πάσης τῆς Οἰκουμένης τὸ ἀγαλλίαμα.

Ἦχος δ'.

Εὐφραίνει μὲν Αἴγυπτον Νεῖλος, τὴν αἰσθητὴν ὁ αἰσθητὸς, ἐκ γῆς ὕων, καὶ πελαγίζων ὄρια, καὶ καρποφόρον ταύτην ἀπεργαζόμενος, εὐφραίνει δὲ πάλιν, οὐκ Αἴγυπτον μόνην, ἀλλ' ἅπασαν τὴν Χριστοῦ Ἐκκλησίαν, Νεῖλος ὁ νοητὸς, Κύριλλος ὁ θεόσοφος, ὁ νῦν εἰς εὐφημίαν προκείμενος· οὐκ ἐκ γῆς προρρέων, ἀλλ' ἐξ ὑπερώων ὑδάτων πλημμυρῶν, τῆς θεολογίας τὰ νάματα· καὶ πελαγίζων τῆς ἠθικῆς φιλοσοφίας, τὰ νεκταρώδη διδάγματα, τῶν ψυχῶν τὰς ἀρούρας πιαίνει, καὶ καρποφόρους δείκνυσι τῷ Θεῷ· ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, ἄφεσιν πταισμάτων δωρηθῆναι, ἡμῖν τοῖς τιμῶσιν αὐτὸν, καὶ μέγα ἔλεος.

Δόξα, ἦχος Γ'. Νέον.

Τοῦ νόμου τὰ σύμβολα, καὶ Προφητῶν τὰ αἰνίγματα, τῷ Πνεύματι τῆς χάριτος διερμηνεύσας, ἱερώτατε Κύριλλε, κάλλους νοητοῦ, καὶ Εὐαγγελικοῦ φωτὸς, πεπληρωμένα ταῦτα ἀπέδειξας· τοῦ γράμματος γὰρ διαπετάσας τὰ προκαλύμματα, τὸν μυστικῶς ἐγκεκρυμμένον τοῦ Πεύματος, θησαυρὸν ἀνεκάλυψας, ταῖς γλαφυραῖς σου ἀλληγορίαις, εἰς τὸ κατὰ Χριστὸν συμπεράνας μυστήριον. Ὅθεν ἀμφοτέρας τὰς Διαθήκας, συμφώνους δείξας τῷ Πνεύματι, καὶ ὡς τροχὸν ἐν τροχῷ, ἀλλήλαις ἐμπεριεχομένας, τὸν νοῦν ἡμῶν διήνοιξας, τοῦ συνιέναι τὰς Γραφάς· καὶ νῦν σου δεόμεθα, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν πόθῳ τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδα μου. Εἰς τὸν στίχ. στιχ. Προσόμοια, ἦχος πλ. ά.

Χαίροις ἀσκητικῶν ἀληθῶς. *Νέα*

Χαίροις θησαυροφύλαξ Χριστοῦ· ὁ ἐκ τῶν ἄνω, ταμιείων τοῦ Πνεύματος, πλουτήσας θησαυρὸν μέγαν, καὶ ἐκ σεπτοῖς θησαυροῖς, τῶν σῶν συγγραμμάτων ἀποθέμενος· δι' ὧν κατεπλούτισας, πᾶν τὸ πλήρωμα Κύριλλε, τῆς Ἐκκλησίας, θησαυροὺς ὑπὲρ ἅπαντας, ὑπὲρ ἄργυρον, ὑπὲρ λίθον πολύτιμον. Πλούτισον οὖν πανόλβιε, ἡμᾶς τοὺς τιμῶντάς σε, τοῖς ἱεροῖς θησαυροῖς σου· κἂν μὴ χωρῶμεν σὺ πλάτυνον, τὸν νοῦν ἡμῶν πάτερ, καὶ τῶν σῶν οὕτω μεταδοὺς θησαυρῶν ἅγιε.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν.

Χαίροις ὁ ζήλου θείου πλησθεὶς, ὑπὲρ τῆς μόνης ἀληθοῦς Θεομήτορος, καὶ Λόγου τοῦ ὑπερθέου, οἰκονομίας φρικτῆς. Σύνοδον γὰρ μάκαρ ἀθροισάμενος, Πατέρων παγκόσμιον, ταύτης ἔξαρχος γέγονας· καὶ Νεστορίου, τοῦ ληρώδους καὶ ἄφρονος, τὴν μισόχριστον, ἐξωσράκισας αἵρεσιν. Ἕνα δὲ τὸν Θεοῦ Υἱὸν, Θεόν τε καὶ ἄνθρωπον, τοῦτο κἀκεῖνο τελοῦντα, συνοδικῶς ἐδογμάτισας· καὶ τοῦτον ἀσπόρως, τὴν τεκοῦσαν Θεοτόκον τρανῶς ἐκήρυξας.

Στίχ. Στόμα δικαίου ἀποστάζει σοφίαν.

Χαίροις Ἀλεξανδρείας φωστὴρ, καὶ οἰκουμένης, ὁ λαμπτὴρ ὁ φανώτατος· τὸ κλέος, τῶν Θεολόγων. Ἱεραρχῶν καλλονή. Διδασκάλων μέγα σεμνολόγημα. Γραφῶν ἡ ἀνάπτυξις· ἀρετῶν ἐνδιαίτημα· οἶκος χαρίτων, τῶν ἐνθέων τοῦ Πνεύματος· ταπεινώσεως, ὑψηλὸν καταγώγιον. Αἴτησαι ἐκτενέστερον, Χριστὸν πάτερ Κύριλλε, ἡμῖν πταισμάτων δοθῆναι, καὶ τῶν δεινῶν ἀπολύτρωσιν, τοῖς σὲ εὐφημοῦσι, καὶ τὴν μνήμην σου τελοῦσι τὴν ἀεισέβαστον.

Δόξα, ἦχος πλ. δ'. Νέον.

Μακαριώτατε Κύριλλε, τίς σε κατ' ἀξίαν ἐπαινέσεται; σὺ γὰρ ὡς Αἰγύπτου πρόεδρος, τὸν ἐν Αἰγύπτῳ γεννηθέντα Μωσῆν μιμησάμενος, εἰκότως καὶ τῶν ἐκείνου γερῶν κατηξίωσαι· ὡς γὰρ ἐκεῖνος τῷ Θεῷ, τὸ Ἰεχωβᾶ ἐπέθηκεν ὄνομα, τὴν κυριωτέραν κλῆσιν Θεοῦ, καὶ παντὶ κτίσματι ἀκοινώνητον· οὕτω καὶ σὺ τῇ Μητρὶ τοῦ Θεοῦ, τὴν Θεοτόκος φωνὴν ἐπεκύρωσας, τὴν κυριωτέραν κλῆσιν αὐτῆς, καὶ πάσῃ ἄλλῃ ἀνοίκειον· κἀκεῖνος μὲν, διὰ τῆς ἐν βάτῳ θεοφανείας, τοῦ μυστικοῦ τῆς Παρθένου τύπου ἠξίωται· σὺ δὲ, οὐ πόρρω τῆς Θεοτόκου ἐπιπνοίας, τὸ κατόρθωμα τοῦτο ἐποίησας· ὦ μεγίστης δόξης ἧς ἔτυχες, θεοειδέστατε Πάτερ! παρρησίαν οὖν ἔχων πρὸς Θεὸν, καὶ τὴν Θεοῦ Μητέρα, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν πόθῳ τιμώντων σε.

Καὶ νῦν. Ἀνύμφευτε Παρθένε. Ἀπολυτίκιον ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ. Παλαιόν.

Τὰς τῶν αἱρέσεων πλακὰς διαρρήξας, τοῖς τῶν σῶν λόγων θησαυροῖς οὐρανίοις, τὴν Ἐκκλησίαν Κύριλλε ἐπλούτισας, πάντα τὰ ζιζάνια, Νεστορίου ἐκκόψας. Ὅθεν καὶ παρίστασαι, σὺν ἀγγέλων χορείαις, Χριστῷ πρεσβεύων μά-

Digitized by Google

καρ ἐκτενῶς, πᾶσι πταισμάτων δωρήσασθαι ἄφεσιν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν ἁ. στιχ. Κάθ. ἦχος ἁ.
Τὸν τάφον σου Σωτήρ. Νέα.

Ἐκ νότου εἰς βορρᾶν, ἐξ Αἰγύπτου ἀνέβης, εἰς Ἔφεσον σοφὲ, ὥσπερ ἥλιος μέγας, καὶ λύσας αἱρέσεων, τὸν χειμῶνα ἐποίησας, ἔαρ Κύριλλε, πίστεως δόγματα θεῖα, εἰς γῆν ἅπασαν, ἐκ τῆς ἑῴας ἀστράψας, δυνάμει τοῦ Πνεύματος.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Παρθένος ἀληθῶς, πρὸ τοῦ τόκου Παρθένε. Παρθένος ἀληθῶς, ἐν τῷ τόκῳ Παρθένε. Παρθένος ἀειπάρθενος, μετὰ τόκον διέμεινας. Ὅθεν δέομαι ὡς ἡγεμὼν τῶν παρθένων, παρθενεύειν με, νοὶ ψυχῇ σώματί τε, Παρθένε ἐνίσχυσον.

Μετὰ τὴν ϛ'. Στιχ. Κάθ. ἦχος γ'. Τὴν ὡραιότητα.

Ῥεῖθρα ἀνέβλυσας, τῆς θείας γνώσεως, ἐκ τῆς κοιλίας σου, πάνσοφε Κύριλλε· ἐν οἷς ἐβύθισας δεινὰς, αἱρέσεις παναοίδιμε· καὶ ἅπαν ἐπότισας, Ἐκκλησίας τὸ πρόσωπον, ἥτις κατὰ χρέος σε, μακαρίζει ἑκάστοτε· καὶ πόθῳ σου τὴν μνήμην γεραίρει, ἐν ἱεραῖς ὑμνολογίαις.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Κατατιτρώσκει με, βέλος γλυκύτατον, τῆς ἀγαπήσεως, τῆς σῆς Πανύμνητε, καὶ καταθέλγει με πυκνῶς, βοᾷν σοι εὐλογημένη· χαίροις ἡλιόμορφον, Βασιλέως παλάτιον· χαῖρε πύλη πάγχρυσε, ἡ Θεὸν ἀναδείξασα, ἄνθρωπον φύσει τῷ τοκετῷ σου, ἀνθρώπους δὲ Θεοὺς κατὰ χάριν.

Μετὰ τὸν Πολυέλεον. Κάθ. ἦχος γ'.
Θείας πίστεως. Παλαιόν.

Θεῖον ἔδρασμα τῆς Ἐκκλησίας, Πάτερ Κύριλλε, σὺ ἀνεδείχθης· τὴν δωδεκάδα ἐκθεὶς γὰρ τῶν λόγων σου, τὴν Νεστορίου κακόνοιαν ἤλεγξας, καὶ Θεοτόκον κυρίως ἐτράνωσας. Πατέρων ἔξαρχε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Θρόνος πάγχρυσος, τοῦ βασιλέως καὶ παράδεισος, διηνθισμένος, ἀνεδείχθης Θεοτόκε Πανάχραντε· τὸν γὰρ Θεὸν ἐν γαστρί σου βαστάσασα, εὐωδιάζεις ἡμᾶς θείαις χάρισιν. Ὅθεν ἅπαντες, Θεοῦ ἀληθῶς Μητέρα σε, κηρύττομεν ἀεὶ καὶ μεγαλύνομεν.

Οἱ Ἀναβαθμοὶ, τὸ ἁ. Ἀντίφωνον, τοῦ β' ἦχου. Προκείμενον. Τὸ στόμα μου λαλήσει Σοφίαν.

Στίχος. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Πᾶσα πνοή. Εὐαγγέλιον ζήτει Ἰανουαρίου κέ. Δόξα, Ταῖς τοῦ ἱεράρχου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεός. Ἦχος πλ. β'. Νέον.

Τὸν ἄδυτον γνόφον, τῆς ἐν Πνεύματι θεωρίας εἰσελθὼν, θεσπέσιε Κύριλλε, τῆς θεολογίας καὶ οἰκονομίας, τῶν δύω πρωτίστων ἀρχῶν τῆς πίστεως, δογματιστὴς γέγονας ἀκριβέστατος· ὁμοούσιον γὰρ τὴν Τριάδα κηρύξας, ἐπίσης τὴν διαίρεσιν Ἀρείου, καὶ τὴν σύγχυσιν Σαβελλίου διέφυγας. Υἱὸν δὲ Θεοῦ, τὸν σαρκωθέντα δογματίσας, Νεστορίου τὴν διαίρεσιν, καὶ τῶν Ἀκεφάλων τὴν σύγχυσιν ἐστηλίτευσας· ὅθεν καὶ ἐπὶ σοῦ, ἀκούειν ὑπῆρχε λέγοντος τοῦ Πατρός· ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου· ἀπ' Αἰγύπτου γὰρ διὰ σοῦ, ἐξήχηται εἰς πάντας ὁ λόγος τοῦ Θεοῦ, ὑγιῶς πιστευόμενος· ᾧ πάντοτε πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Κοντάκιον. Παλαιόν Ἦλος πλ. β'.
Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν.

Ἄβυσσον ἡμῖν, δογμάτων θεολογίας, ἔβλυσας σαφῶς, ἐκ τῶν πηγῶν τοῦ Σωτῆρος, τὰς αἱρέσεις κατακλύζουσαν μακάριε, τὸ δὲ ποίμνιον ἀπόντιστον, τρικυμίας διασώζουσαν· τῶν περάτων γὰρ Ὅσιε, ὑπάρχεις καθηγητὴς, ὡς τὰ θεῖα σαφῶν.

Ὁ Οἶκος. Νέος.

Τίσιν ἐγκωμίοις: ἢ ποίᾳ γλώσσῃ τολμήσω ἀνευφημῆσαι Κύριλλον τὸν σοφώτατον; τὸν τῆς Ἀλεξανδρείας ἐκλάμψαντα, καὶ τὴν οἰκουμένην ὅλην φωτίσαντα; τῆς Τριαδικῆς θεολογίας, τὸν ὑψηγόρον ἐκφάντορα; τῆς ἐνσαρκώσεως τοῦ Θεοῦ Λόγου, τὸν ἀκριβέστατον γνώμονα; τῆς Θεοτόκου τὸν ἐπιστήθιον φίλον; τὸν διερμηνευτὴν τῶν Γραφῶν, καὶ τῶν βάθη τοῦ Πνεύματος, σὺν τῷ πνεύματι ἐρευνήσαντα; γλωσσῶν γὰρ πλῆθος ῥητορικῶν, καὶ ταῦτα κεκαθαρμένων, οὐκ ἐξαρκεῖ πρὸς ἔπαινον· πολλῷ δὲ μᾶλλον μία, καὶ αὕτη, τοσοῦτον ἐναγὴς, ὅσον ἀμοσσος; Ἀλλ' οὖν τῇ συνήθει σου φιλανθρωπίᾳ θαρρῶν, Πάτερ ἁγιώτατε, τῷ ὕψει τῶν σῶν πλεονεκτημάτων, ὁ περιπέζιος ἐγὼ προσεπέλασα, ὡς Οὐρανοῦ πλάτος ἐν βλαχείᾳ ἐπιφανείᾳ, ὡς γῆς μῆκος ἐν χάρτῃ, καὶ ὡς γίγαντα ἐν σφενδόνῃ δακτυλίου· οὕτω τὰ σὰ, λόγοις ἐν μικροῖς τὰ μεγάλα περιλαβών, καί γε

Digitized by Google

σύγγνωθι· σὺ γὰρ ὑπάρχεις τῶν περάτων καθηγητὴς, ὡς τὰ θεῖα σαφῶν.

Ἐξαποστειλάρια Νέα. Τοῖς μαθηταῖς συνέλθωμεν.

Τὸν Ἱεράρχην ἅπαντες, καὶ Κριτὴν οἰκουμένης, Κύριλλον μακαρίσωμεν, τῶν Πατέρων Πατέρα, ποιμένων τε ποιμενάρχην, οὗτος γὰρ τῆς Τριάδος, ὀρθότατα ἐκήρυξε, τὸ μυστήριον πᾶσι, καὶ τῆς φρικτῆς, δι' ἡμᾶς τοῦ Λόγου οἰκονομίας, τῶν δυσσεβῶν αἱρέσεων, πλάνην τρέψας γενναίως.

Θεοτοκίον.

Μετὰ Θεὸν Πανάμωμε, σὺ Θεὸς ἀνεδείχθης, τὰ δευτερεῖα ἔχουσα, τῆς Ἁγίας Τριάδος, τῆς πίστεως ἀρχὴ πρώτη, καὶ ἐλπίδος ἡ βάσις, τὸ ἔρεισμα τῆς πράξεως, καὶ κρηπὶς θεωρίας, ἀκροστιχὶς, Προφητῶν ἁπάντων, καὶ Γραφῶν πίναξ, πόλου καὶ γῆς τεράστιον, καὶ στοιχεῖον τοῦ Κόσμου.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στιχ. δ'. καὶ ψάλλομεν στιχ. προσόμοια, Ἦχος ά.

Τῶν Οὐρανίων ταγμάτων. Νέα.

Τῶν φιλεόρτων τὰ πλήθη, δεῦτε συνδράμωμεν, καὶ μνήμην τὴν φωσφόρον, τοῦ ἐνθέου Κυρίλλου, κροτήσωμεν ἐν ὕμνοις, χαρμονικοῖς, τὸν Σωτῆρα δοξάζοντες, τὸν θαυμαστώσαντα τοῦτον ἐν Οὐρανῷ, καὶ ἐν γῇ ὡς μέγαν ἥλιον.

Τῶν νοημάτων τῷ ὕψει, καὶ τῇ λαμπρότητι, καὶ τῷ ἰδιοτρόπῳ, κάλλει τῆς φράσεώς σου, Κύριλλε τρισμάκαρ, φωταγωγεῖς, τῶν πιστῶν τὴν διάνοιαν, καὶ τὴν καρδίαν εὐφραίνεις καὶ ἀκοήν, καθηδύνεις Ἱερώτατε.

Μετὰ Θεὸν πᾶν ἰσχύει, ὄντως ἡ Μήτηρ Θεοῦ, σὺ δὲ φίλος ὑπάρχων, τῆς Μητρὸς Θεοῦ πάλιν, Κύριλλε μεγάλην, ἔχεις ἰσχὺν, διανῦσαι πᾶν αἴτημα. Ὅθεν ἡμῶν τὰς αἰτήσεις σῶν ὑμνῳδῶν, ἀποπλήρου ταῖς πρεσβείαις σου.

Τοῖς Ἱεράρχαις συνήφθης, πάνσοφε Κύριλλε, ὡς Ἱεράρχης μέγας, θεολόγοις τε πᾶσιν, ὡς ὄντως θεολόγος, νῦν δὲ τρανῶς, τῷ φωτὶ ἐλλαμπόμενος, τῆς ὑπερθέου Τριάδος μνείαν ποιοῦ, ἡμῶν πάντων τῶν τιμώντων σε.

Δόξα, Ἦχος πλ. δ'. Νέον.

Τῶν Ἁγίων Πατέρων ὁ χορὸς, ὁ ἐν Ἐφέσῳ τῇ πόλει συνελθὼν, τῆς λεπτῆς φρονήσεως, σὲ ἀγαμένη καὶ κρίσεως, πανεύφημε Κύριλλε, ψήφῳ συνοδικῇ, βραβεῖά σοι ἐχαρίσατο, Κριτὴν τῆς οἰκουμένης καλεῖσθαι, καὶ ἐν τῷ λειτουργεῖν Θεῷ, λεπτὸν ἐπὶ κεφαλῆς φέρειν ἀθάνιον· διὸ ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομά σου, ὅτι ἐν τῇ σοφίᾳ σου, Νεστόριον κρίνας τὸν τῆς οἰκουμένης ἐχθρὸν, ὅλην ἔκρινας τὴν οἰκουμένην, τὴν ὑπὸ τούτου ταραττομένην, καὶ νῦν μετὰ παρρησίας, Χριστῷ καὶ τῇ Μητρὶ τοῦ Χριστοῦ παριστάμενος, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι. Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου. Ὠδὴ γ'. καὶ ς'. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει Ἰανουαρίου κέ. Κοινωνικόν. Εἰς μνημόσυνον.

ΤΡΟΠΑΡΙΑ.

Ψαλλόμενα τῇ ΚΘ'. τοῦ Ἰουνίου ἐν τῷ μεγάλῳ ἑσπερινῷ τῶν Ἁγίων Ἀποστόλων.

ΠΕΤΡΟΥ ΚΑΙ ΠΑΥΛΟΥ,

Μετὰ τὰ πρῶτα στιχηρά.

Ἦχος ά. Τῶν Οὐρανίων ταγμάτων.

Τῶν φιλεόρτων τὰ πλήθη, δεῦτε συνδράμωμεν, τῇ μνήμῃ τῶν ἐνδόξων, καὶ σεπτῶν Ἀποστόλων. Πέτρος γὰρ καὶ Παῦλος, πάντας ἡμᾶς, συνεκάλεσαν σήμερον, εἰς εὐωχίαν ἀθάνατον τὰς αὐτῶν, ἀριστείας παραθέμενοι.

Καθάπερ ἄλλοι Φωστῆρες, δύω παμμέγιστοι, ηὔγασαν πᾶσαν Κτίσιν, εὐσεβείας ἀκτῖσι. Πέτρος τε καὶ Παῦλος, ὁ μὲν εἰς ἀρχὰς, Ἰουδαίων κληρούμενος, ὁ δ' εἰς ἀρχὰς τῶν ἀπίστων καὶ ἐθνικῶν, καὶ Χριστὸν ὁμοῦ κηρύττουσιν.

Ἐν Παύλῳ Πέτρος ἐν Πέτρῳ, Παῦλος εὑρίσκεται· τῇ γὰρ Χριστοῦ ἀγάπῃ, συνημμένοι ἀλλήλοις, φρόνημα καὶ πνεῦμα, ἓν ἀληθῶς, κατὰ πάντα ἐκτήσαντο· ἀλλ' ἐν ἀγάπῃ συνάπτεσθαι καὶ ἡμᾶς, Μαθηταὶ Χριστοῦ πρεσβεύσατε.

Πέτρος καὶ Παῦλος ἡ θεία, δυὰς καὶ πάνσεπτος, τῆς ὑλικῆς δυάδος, ὑπεράνω ἀρθέντες, ἄϋλοι ἀύλως, ἄϋλον νῦν, ἐποπτεύουσι χαίροντες, τὴν ἐν Μονάδι Τριάδα καὶ ἐκτενῶς, ὑπὲρ Κόσμου ἱκετεύουσιν.

Digitized by Google

ΤΗ Ις' ΤΟΥ ΙΟΥΛΙΟΥ ΜΗΝΟΣ

Ὅτε ἑορτάζονται αἱ ἅγιαι οἰκουμενικαὶ ἑξ Σύνοδοι ψάλλονται ἐν μὲν τῷ Ἑσπερινῷ τὰ παρόντα τροπάρια, ἐν δὲ τῷ Ὄρθρῳ ὁ ἀκόλουθος Καὶ τοῦ νέου Γερμανοῦ. [1]

Ἦχος πλ. δ'. Ἡ ἀπεγνωσμένη.

Τὰς ἑπτὰ Συνόδους τὰς τῶν πατέρων, κατὰ διαφόρους καιροὺς συστάσας, εἰς ἕνα συνήθροισεν, ἑνὶ κανόνι τῷδε, μάλα καλῶς ὁ Πατριάρχης, ὁ Γερμανὸς ὁ νέος, γράφων ὁμοῦ τε καὶ κρατύνων, τὰ δόγματα τὰ τούτων· ὃς καὶ πρέσβεας αὐτοὺς ἀγρύπνους, τῆς σωτηρίας τῷ Κυρίῳ προβάλλεται, καὶ τοῦ ποιμνίου συμποίμενας.

Τὸ τοῦ νόμου γράμμα παισὶν Ἑβραίων, ἔθετο τιμίαν τὴν ἑβδομάδα, σκιᾷ προσανέχουσι, καὶ λατρεύουσι ταύτῃ· ἣν περ Πατέρες συνδραμόντες, ἐν ἑπτάδι Συνόδων, νεύσει Θεοῦ τοῦ ἐν ἑξάδι, ἡμερῶν σύμπαν τόδε, ἀπαρτίσαντος, καὶ τὴν ἑβδόμην εὐλογήσαντος, σεμνοτέραν εἰργάσασθε, ὅρον ἐκθέμενοι πίστεως.

Τὴν Τριάδα πᾶσιν ἐκ τῶν πραγμάτων, τῆς Κοσμογενείας οὖσαν αἰτίαν, τρανῶς παρεδώκατε, τρισόλβιοι Πατέρες· τρεῖς γὰρ καὶ τέσσαρας Συνόδους, μυστικωτάτῳ λόγῳ θέντες, καὶ ἔκδικοι φανέντες, τοῦ ὀρθοδόξου λόγου, τὰ στοιχεῖα τὰ τέσσαρα ὄντα, καὶ τὴν Τριάδα ἐνεφήνατε, κτίσασαν ταῦτα, καὶ κόσμον ποιήσασαν.

Ἦρκεσε καὶ μία ζωὴν ἐμπνεῦσαι, τῷ κειμένῳ γόνῳ τῆς ὑπουργούσης, Προφήτου ἀνάκαμψις, Ἐλισσαιὲ τοῦ πάνυ· [2] ὅμως ἀνέκαμψεν ἑπτάκις, καὶ συνέκυψε τοῦτῳ, οἷα προόπτης προαγγέλλων, τὰς ὑμῶν συνελεύσεις· αἷς τὴν νέκρωσιν τοῦ Θείου λόγου ἐμψυχώσατε, θανατώσαντες Ἄρειον, καὶ τοὺς ἐκείνῳ συγκάμνοντας.

Τὸν διηρημένον Χριστοῦ χιτῶνα, καὶ διερρηγμένον κυσὶν ὑλάκταις, σοφῶς συνερράψατε, σεβάσμιοι Πατέρες, βλέπειν τὴν γύμνωσιν τὴν τούτου, μηδαμῶς ἐνεγκόντες· ὥσπερ ὁ Σὴμ τε καὶ Ἰάφεθ, τὴν πατρῴαν τὸ πάλαι καταισχύναντες τὸν πατραλοίαν, καὶ τοὺς ἐκείνῳ συμφρονήσαντες Ἄρειον, τὸν τῆς μανίας ἐπώνυμον.

Τοὺς Μακεδονίους καὶ Νεστορίους, καὶ τοὺς Εὐτυχέας καὶ Διοσκόρους, Ἀπολλιναρίους τε Σαβελλιοσεβήρους, λύκους βαρεῖς ἀποδειχθέντας, ἐν δέρμασι προβάτων, πόρρω τῆς ποίμνης τοῦ Σωτῆρος, ὡς ἀληθεῖς ποιμένες, ἀπηλάσατε γυμνοὺς κωδίων, τοὺς τρισαθλίους καταστήσαντες ἄριστα, ὅθεν ὑμᾶς μακαρίζομεν.

Καὶ ὡς ἄριστα μὲν καὶ σοφώτατα μελουργηθεὶς εἰς τὰς ἁγίας καὶ Οἰκουμενικὰς ἑπτὰ Συνόδους, παρὰ τοῦ ἁγιωτάτου Πατριάρχου Κωνσταντινουπόλεως Γερμανοῦ τοῦ νέου, ἤδη δὲ διορθωθείς.

Ἦχος, πλ. δ'. Ὠδὴ, ά.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Οἱ ἐκ Νικαίας ὡς ἔκ τινος οὐρανοῦ, πανταχοῦ βροντήσαντες, λόγον ζῶντα τοῦ Πατρὸς, καὶ τοὺς τούτου δείξαντες ἐχθροὺς, ἐμβροντήτους, ἱεροῖς ὕμνοις τιμάσθωσαν.

Πνευματομάχων τὸ πνεῦμα τὸ πονηρὸν, ἐν ἁγίῳ Πνεύματι, ὁ Χριστὸς τῆς ἑαυτοῦ, Ἐκκλησίας πόρρω ἐξωθεῖ, τῇ δευτέρᾳ, συνεργῷ Συνόδῳ χρώμενος.

Καὶ χριστομάχου τὴν πλάνην συνεξωθεῖ, Νεστορίου Κύριλλος, τῆς Συνόδου προεστὼς, ἣ τρανῶς τὴν Κόρην Μαριὰμ, ἀνεκήρυξε Θεοῦ Μητέρα πάναγνον. Θεοτοκίον.

Τὸν τῆς ἀκτίστου Τριάδος ἕνα Χριστὸν, ἐν δυσὶ ταῖς φύσεσι, καὶ θελήσεσιν ἀγνῇ, ἀποτίκτει ἕνωσιν βροτῶν, καὶ ἀγγέλων, διὰ σοῦ ἀπεργαζόμενον.

Ὠδὴ, γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σύ.*

Κτισματολάτρης ἐκφανθεὶς, Ἄρειος ὁ παράφρων. Μακεδόνιος πάλιν, ἡμιάρειος δειχθεὶς, ἰσομοιρίαν πυρὸς, ἐν γεέννῃ, ἔσχον σὺν τοῖς Ἕλλησιν,

Ἑπτὰ Συνόδοις ἱεραῖς, τῶν ἁγίων Πατέρων,

---

[1] Σημείωσαι, ὅτι ὁ νέος οὗτος Γερμανὸς ἦτο ἐπὶ τῆς βασιλείας Ἰωάννου Βατάτζη τοῦ ἐν Μαγνησίᾳ, ἐν ἔτει ᾳσκβ' (1222), μετὰ τὴν ὑπὸ τῶν Οὐενετῶν γενομένην ἅλωσιν τῆς Κωνσταντινουπόλεως· ὅτε τὸ βασίλειον τῶν Ῥωμαίων μετετέθη εἰς τὴν Νίκαιαν· ἐπατριάρχευσε δὲ οὗτος χρόνους δεκαεπτὰ καὶ μῆνας ἕξ· ἐκ μοναχοῦ δὲ ἔγεινε πατριάρχης· ἀνὴρ φρόνιμος καὶ ἀρετῇ καὶ λόγῳ τὸν βίον κατακοσμήσας (ὅρα τὸν Μελέτιον σελ. 93 τοῦ Γ'. Τόμου τῆς Ἐκκλ. Ἱστορ.) Οὗτος ἦρχε καὶ ἐν τῇ πρὸς Λατίνους τότε συγκροτηθείσῃ Διαλέξει, καὶ ἐπιστολὴν ἔπεμψε Γρηγορίῳ Πάπᾳ τῷ Θ'. σχισματικοὺς εἶναι διακαμβάνουσαν τοὺς Δυτικοὺς, καὶ τῷ πρὸς Γαλάτας τοῦ Παύλου ἀναθέματι ὑπευθύνους διὰ τὴν ἐν τῷ Συμβόλῳ προσθήκην.

[2] Ἤτοι, ἀρκετὴ ἦτο καὶ μία μόνη ἀνάκαμψις τοῦ Προφήτου Ἐλισσαίου, νὰ ἐμπνεύσῃ ζωὴν εἰς τὸν νεκρὸν υἱὸν τῆς ὑπηρετούσης αὐτὸν Σωμανίτιδος· εὑρίσκεται δὲ ἡ ἱστορία αὕτη ἐν τῷ δ'. Κεφαλ. τῆς Δ'. τῶν Βασιλειῶν, καὶ ὁ βουλόμενος, ἂς τὴν ἀναγνώσῃ.

Digitized by Google

τὴν σεπτὴν Ἐκκλησίαν, κατεφαίδρυνε Χριστὸς, ὡς ἑπταλύχνῳ φωτὶ, τὸ τῆς πλάνης, σκότος ἐκδιώξας μακράν.

Ποίμην λυμαίνεται τὴν σὴν, ἡ πολύτροπος ψώρα τῶν αἱρέσεων Λόγε· οἱ Ποιμένες δὲ τῶν σῶν, προβάτων τῶν λογικῶν, καχεξίας, ταύτης ἀπαλλάττουσιν. Θεοτοκίον.

Τὸν ἕνα τέτοκας σεμνὴ, τῆς ἀκτίστου Τριάδος, ἐν δυσὶ ταῖς οὐσίαις καὶ θελήσεσιν ἀγνή· οὗ τὴν Εἰκόνα πιστῶς, προσκυνοῦμεν, χάριτος πληρούμενοι.

Ὠδὴ, δ'. Χριστός μου δύναμις.

Ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε, κεφαλὴν ἦραν Σῶτερ ἐπὶ μικρόν· ἀλλ' εὐθὺς κατέπεσον, οὐκ ἐνεγκόντες τὰς φωνὰς, τῶν σαλπίγγων τῶν τοῦ Πνεύματος.

Ἡλίου ἥλιοι, διπλοῖ ἀπηύγασαν, ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, ἄκτιστοι συνάναρχοι· τῶν δὲ ἀμφοτέρων ὁ Πατὴρ, μόνος αἴτιος πιστεύεται.

Ἑπτὰ μὲν πνεύματα, ἐπαναπέπαυται, ἐν Χριστῷ Ἡσαίας τοῦτό φησιν· ἐν ἑπτὰ Συνόδοις δὲ, ἐπανεπαύσατο Χριστὸς, σὺν Πατρὶ καὶ θείῳ Πνεύματι. Θεοτοκίον.

Χριστὸν ἐγέννησας, σάρκα φορέσαντα, ἐξ ἁγνῶν σου αἱμάτων Κόρη σεμνὴ, ὃν διπλοῦν ταῖς φύσεσιν, ἐν ὑποστάσει δὲ μιᾷ, οἱ Πατέρες ἐδογμάτισαν.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Τὴν θείαν ἄμπελον τοῦ Χριστοῦ, ἣν ἐκ τῆς Αἰγύπτου μετῆρε, τῆς σκοτεινῆς ἀπογνώσεως, λυμεῶνες θῆρες πρὶν κατεβόσκοντο, σφενδόνη δὲ Πατέρων μακρὰν ἠλάθησαν.

Τῷ θείῳ φέγγει σου τριφεγγεῖ, νῦν καταυγασθέντες οἱ σεπτοὶ, Πατέρες ἕνα ἐκήρυξαν, τῆς σεπτῆς Τριάδος Χριστὸν τὸν Κύριον, δισσούμενον καὶ φύσεσι καὶ θελήσεσιν.

Ἐνύλοις ὥς τισι Σεραφὶμ, τοῖς σοφοῖς Πατράσιν, ὦ τριὰς, ἡ Ἐκκλησία οὐράνωται· τρισάγιον ὕμνον ἥτις σοι μέλπουσα, συνάγει τὸ τρισσόν σου μιᾷ Θεότητι. Θεοτοκίον.

Μήτηρ καὶ δούλη τοῦ σοῦ Υἱοῦ, πέφηνας ἁγνὴ ὁ γὰρ ἐκ σοῦ, πρὸ σοῦ ὑπῆρχεν ὡς πλάστης σου, ὃν δυσὶν οὐσίαις κατανοούμενον, ἑνίζομεν τῷ λόγῳ τῆς ὑποστάσεως.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Θεὸς Θεῶν Κύριος, ὁ Δαβὶδ προμελῳδεῖ, ἐλάλησεν ἐκάλεσεν, ἀνατολῶν ἐξ ἄκρων πᾶσαν τὴν γῆν, μέχρι καὶ δυσμῶν αὐτῶν, τὰς καθόλου Συνόδους τῶν Πατέρων δηλῶν.

Ἑπτὰ στύλοις ἤδρασεν, ἡ σοφία τοῦ Θεοῦ, τὴν Ἐκκλησίαν ἅπασαν, ταῖς ἑπταρίθμοις Συνόδοις τῶν Ἱερῶν, Πατέρων ἀκλόνητον, τηρουμένην παντοίας ἐξ αἱρέσεως.

Αἰσχύνη τὰ πρόσωπα, καλυψάτω Εὐτυχοῦς, καὶ Διοσκόρου σύγχυσιν, φλυαρησάντων φύσεων τοῦ Χριστοῦ· οὐ γὰρ εἰς ἀφάντωσιν, ἀλλ' εἰς θέωσιν φύσιν βροτῶν εἴληφεν.

Θεοτοκίον.

Ἐρρέτω Νεστόριος, εἰς Ἑβραίων σκοτεινὰς, συναγωγὰς καὶ γλῶτταν δὲ ἀποτεμνέσθω βλάσφημον ὁ δεινός. Θεὸς γὰρ ἐγέννησεν, ἡ Παρθένος Μαρία σαρκοφόρον ἡμῖν.

Ὠδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Βαβυλώνιον μὲν δράκοντα διέρρηξεν, ὁ Δανιὴλ τὸ πρότερον, ἡ προσευχὴ δὲ τῶν Πατέρων ῥήγνυσι δεινὸν, Αἰγύπτιον δράκοντα σαφῶς, τὸν λυμαινόμενον Χριστοῦ τὴν Ποίμνην Ἄρειον.

Ἀσυγχώρητον δυσσέβειαν ἐνόσησεν ὁ κύων Μακεδόνιος, καθυλακτήσας, τοῦ θεοῦντος Πνεύματος βροτοὺς, καὶ πάντας λουτρῷ τοῦ βαπτισμοῦ, ἐπὶ τὴν πρώτην καλλονὴν ἀναμορφοῦντος πιστούς.

Ὁ Διόσκορος καὶ Εὐτυχὴς Σεβῆρός τε, Λευϊαθὰν ἡ τρίαινα, ἡ συγχέουσα καὶ συμφύρουσα τὰς τοῦ Χριστοῦ οὐσίας συγχύσει τῶν φρενῶν, πρὸς τῆς Τριάδος τῆς σεπτῆς συγκατατέθραυσται.

Θεοτοκίον.

Τῆς ἐνσάρκου σου μορφῆς τὸν τύπον Δέσποτα, σεπτῶς κατασπαζόμεθα, τῆς Μητρός σου, καὶ Ἁγίων πάντων τὴν τιμὴν, εἰδότες ὀρθῷ τῷ λογισμῷ, διαβιβάζεσθαι καλῶς πρὸς τὸ ἀρχέτυπον.

Ὠδὴ ἡ. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ἐκ μιᾶς ὥσπερ ῥίζης, βλαστοὶ θεόφυτοι, ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἀνατετάλκασι· καὶ γὰρ ὁ Πατὴρ, μόνος αἴτιος πέφυκεν, ἄχρονος ἀχρόνων, προσώπων ὁμοτίμων.

Digitized by Google

Ἐκ γαστρὸς τῆς ἀύλου, ἀχρόνως ἔλαμψας, ὁμοούσιε Λόγε, Πατρὶ καὶ Πνεύματι, ἀλλὰ δι' ἡμᾶς, χρονικῶς ὑποδέδυκας, ἔνυλον γαστέρα, τῆς μόνης Θεοτόκου.

Τὰ φλογόεντα βέλη, πυρὶ τοῦ Πνεύματος, εἰς ἐμψύχους καρδίας, ἐχθρῶν ἐνέπηξαν, τῶν αἱρετικῶν, καὶ πρὸς θάνατον ἔπληξαν, σύλλογοι Πατέρων, ἑπτάριθμοι καὶ θεῖοι.

Θεοτοκίον.

Οὐ προσώποις τὸν ἕνα, Χριστὸν δυάζομεν, οὐχ ἑνίζομεν τοῦτον, συγχύσει φύσεων· εἷς γὰρ ὢν αὐτὸς, τῷ προσώπῳ δυάζεται, φύσεσι Παρθένε, ὁ σὸς Υἱὸς καὶ πλάστης.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Οὐ δεῖ προσθεῖναι ἢ ἀφελέσθαι τι, τοῦ Ἱεροῦ συμβόλου τῆς ὀρθῆς ἡμῶν πίστεως, ἐπ' αὐτῷ γὰρ πιστῶς βεβαπτίσμεθα, οἱ δὲ παραχαράκται ταύτης τῆς πίστεως, τῇ ἐνδικωτάτῃ ἐκδοθήσονται ποινῇ τῷ ἀναθέματι.

Χαρᾷ καρδίας πάντες σκιρτήσωμεν, τὰς Ἱερὰς Συνόδους, τῶν Πατέρων κροτήσαντες, δι' αὐτῶν γὰρ τὸ φῶς τεθεάμεθα, τὸ τῆς ὀρθοδοξίας· λύχνοι γὰρ ὤφθησαν, πάντες ὁδηγοῦντες, πρὸς ὀρθῶν δογμάτων εὕρεσιν.

Ψυχῶν τὴν κάθαρσιν ἐξαιτήσωμεν, καὶ εὐσεβῶς τὸν βίον διανῦσαι σπουδάσωμεν, συναρίθμιοι ὅπως γενώμεθα, τοῖς Ἁγίοις Πατράσιν, οἳ ἐθησαύρισαν τῶν ὀρθῶν δογμάτων, πλουτισμὸν ἡμῖν τοῖς τέκνοις αὐτῶν. Θεοτοκίον.

Χριστὸς λαγόνων τῶν σῶν ἐξέλαμψε, Μῆτερ Θεοῦ καὶ γένος τῶν ἀνθρώπων ἐθέωσε, καὶ τῆς δόξης αὐτοῦ κατηξίωσε, καὶ ἡμᾶς κληρονόμους ταύτης ἀνέδειξε, τοὺς σὲ Θεοτόκον, ἀληθῶς ἀεὶ κηρύττοντας. [1]

ΑΝΑΠΛΗΡΩΣΙΣ

Τῆς ἀκολουθίας τοῦ Προφήτου Ἠλιού. (20 Ἰουλίου) Μετὰ τὰ τρία πρῶτα Προσόμοια τὰ ἐν τῷ Μηναίῳ, λεγέτω ὁ θέλων ἑορτάζειν τὸν Προφήτην, καὶ τὸ παρὸν κάτω.

Ἦχος, ά. Τῶν οὐρανίων ταγμάτων.

Ἐν τῷ Χωρὴβ μὲν τοπρώην, ἐν Θαβὼρ δ' ὕστερον, τὴν τοῦ Θεοῦ κατεῖδες, θεωρίαν Προφῆτα· ἐκεῖ μὲν ἐν τῇ αὔρᾳ· ἐνταῦθα δὲ, ἐν φωτὶ τῆς Θεότητος· καὶ ἐδοξάσθης ὁσίως ἐν τῇ Παλαιᾷ, Ἠλιοὺ καὶ Νέᾳ χάριτι.

Ἕτερα Στιχηρὰ κάτω.

Ἦχος, δ'. Ποίοις εὐφημιῶν στέμμασιν.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀναδήσωμεν τὸν διφρηλάτην; τὸν Οὐρανοδρόμον Ἑράκα; Ἠλιοὺ τὸν πῦρ ὅλως πνέοντα; τὸν πυρίνου ἅρματος ἱππέα; τὸν ῥεῖθρα, τοῦ Ἰορδάνου διαρρήξαντα; καὶ ὄμβρους, τοῦ Οὐρανοῦ λόγῳ πεδήσαντα; τὸν ἐν πυρὶ θυηφόρον; τὸν Χριστῷ λαλοῦντα; τὸν καὶ Πρόδρομον τῆς αὐτοῦ, δευτέρας ἐλεύσεως; τὸν φωστῆρα τὸν φαεινότατον;

Ποίοις εὐφημιῶν ἄσμασι, τὸν Θεσβίτην ἀνυμνήσωμεν Ἠλίαν; τὸν ζήλῳ Θεοῦ πυρπολούμενον; καὶ τοὺς ἀσεβεῖς πυρπολήσαντα; τὸν τοὺς μύστας σφάξαντα τῆς Βάαλ; τὸν μύσην, ἧς προεώρακε τῷ Πνεύματι, ἐν αὔρᾳ. λεπτῇ Χριστοῦ θείας σαρκώσεως; τὸν ξενοτροφοῦντῆς χήρας; τοῦ πυρὸς τὸν στύλον; τὸν πνέοντα τοῖς νεκροῖς, ζωὴν θείᾳ χάριτι; τὸ τοῦ Πνεύματος ἐνδιαίτημα;

Ποίοις πνευματικοῖς ἄνθεσι, τὸ τοῦ Πνεύματος στέψωμεν σκεῦος; τὸν φλογὶ πυρὸς σιτιζόμενον, καὶ τὸ πυρὶ σπαργανούμενον; τὸ μιᾶς τροφῆς ἐν τῇ ἰσχύϊ, ὁδὸν, τεσσαρακονθήμερον ἀνύσαντα; τροφὴν, τὸν διὰ τοῦ κόρακος δεχόμενον; τῶν Προφητῶν τὴν κρηπίδα; Ἠλιοὺ τὸν μέγαν, δι' οὗ δαιμόνων ὄφρῦν, καθεῖλεν ὁ Κύριος; ὁ ἔχων τὸ μέγα ἔλεος.

Πάντες οἱ εὐτελεῖς δοῦλοί σου, σοὶ προσπίπτομεν Θεοῦ Προφῆτα, δώρησαι ἡμῖν ἀναχράζοντες, χάριν τὴν τοῦ Πνεύματος ἔνδοξε, ὥσπερ Ἐλισσαίῳ ἐδωρήσω, διπλῆν, ταύτην μάκαρ ἐξαιτήσαντι· καὶ δὸς, εὑρεῖν λύσιν ταῖς πρεσβείαις σου, ὀφλημάτων πάντων, ὅτε Πρόδρομος τοῦ Χριστοῦ, δευτέρας ἐλεύσεως, Ἠλιοὺ ἤξεις θεώνυμε.

Εἰς τὸν Ὄρθρον μετὰ τὴν ά. Στιχ. Κάθ. ἦχος ά.

Τὸν τάφον σου Σωτήρ.

Φωστῆρα παμφαῆ, διφρηλάτην πυρφόρον, καὶ Ἄγγελον ἐν γῇ, ζήλου πνέοντα θείου, δυσσέβειαν τρέποντα, παρανόμους ἐλέγχοντα, κορυφαῖόν τε τῶν Προφητῶν ὁμοφώνως, σὲ κηρύττομεν, μάκαρ θεόπτα Ἠλία· διὸ ἡμᾶς φύλαττε.

---

[1] Ὅρα καὶ εἰς τὴν ἑκάτην ἕκτην τοῦ Ἰουλίου ἐν ταῖς ὑποτιμεώσεσι, ἐν αἷς ἀναφέρομεν περὶ τοῦ Κανόνος τούτου.

Digitized by Google

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Κυβέρνησον Ἁγνὴ, τὴν ἀθλίαν ψυχήν μου, καὶ σίκτειρον αὐτὴν, ὑπὸ πλήθους πταισμάτων βυθῷ ὀλισθαίνουσαν, ἀπωλείας Πανάμωμε, καὶ ἐν ὥρᾳ με τῇ φοβερᾷ τοῦ θανάτου, ἐλευθέρωσον, κατηγορούντων δαιμόνων, φρικρῆς τε κολάσεως.

Μετὰ τὴν δ'. Στιχολογίαν Κάθ. Ἦχος ά.

Τὸν τάφον σου Σωτήρ.

Θεῷ δι' ἀρετῆς, ἀκραιφνοῦς ὠκειώθης, οὐράνιον ζωὴν, ἐπὶ γῆς βιστεύσας· ζωὴν δὲ τῆς χάριτος, κεκτημένος μακάριε, σοῖς φυσήμασι, παῖδα θανόντα ἐγείρεις· μένεις δ' ἄφθαρτος, κρείττων εἰσέτι θανάτου, Ἠλία θεόπνευστε.

Δόξα. Ἐπεφάνης σήμερον.

Τεσσαρακονθήμερον, ἀδὸν ἀνύεις, μιᾷ βρώσει ἔνδοξε, ρωσθεὶς Ἀγγέλου τῇ ἀφῇ· διὸ τοῖς πίστει τιμῶσί σε, ῥῶσιν παράσχου, ψυχῆς τε καὶ σώματος.

Καὶ νῦν. Θεοτοκίον.

Τὰς ἀχράντους χεῖράς σου, Παρθενομῆτορ, ἐφαπλοῦσα, σκέπασον, τοὺς καταφεύγοντας εἰς σὲ, καὶ τῷ Υἱῷ σου κραυγάζοντας· πᾶσι παράσχου, Χριστὲ τὰ ἐλέη σου.

Μετὰ τὸν Πολυέλεον. Καθ. Ἦχος πλ. δ'.

Τὴν σοφίαν καὶ Λόγον.

Ἡλιοὺ τὸν πυρίπνουν καὶ ζηλωτὴν, τὸν θεόπτην καὶ Πρόδρομον τοῦ Χριστοῦ, δευτέρας ἐλεύσεως, καὶ τῆς πρώτης συνόμιλον· τὸν δι' ὀρνέου ἔωθεν, καὶ δείλης τρεφόμενον· καὶ ξενοτρόπῳ βρώσει, τὴν χήραν ἐκτρέφοντα, καὶ τὸν ταύτης παῖδα, ἐκ νεκρῶν ἀνιστῶντα· τὸν θῦμα καὶ σχίδακας, πυρὶ θείῳ ἐμπρήσαντα, ἐν ᾠδαῖς εὐφημήσωμεν, κραυγάζοντες αὐτῷ ἐκ ψυχῆς· τῶν πταισμάτων δωρηθῆναι ἄφεσιν, ἡμῖν πρεσβεύοις Προφῆτα, τοῖς πόθῳ τιμῶσί σε.

Δόξα. Τὴν ὡραιότητα.

Τὰ Ἰορδάνεια, διῆλθες ὕδατα, Ἠλία πρότερον, καὶ τότε ἅρματι, ἀνῆλθες ὡς εἰς οὐρανὸν, ἐμφαίνων τι μυστήριον· ὅτι οὐδεὶς δύναται, ἀνελθεῖν εἰς οὐράνια, ἐκτὸς εἰμὴ πρότερον, μετανοίας τὰ ὕδατά, διέλθῃ καὶ ψυχὴν ἐκκαθάρῃ· ἧς σύμβολον ὁ Ἰορδάνης.

Καὶ νῦν. Θεοτοκίον

Κατατιτρώσκει με, βέλος γλυκύτατον, τῆς ἀγαπήσεως τῆς σῆς Πανύμνητε· καὶ καταθέλγει με πυκνῶς, βοᾶν σοι εὐλογημένη· χαῖρε ἡλιόμορφον, Βασιλέως παλάτιον· χαῖρε θρόνε πύρινε, ἡ Θεὸν ἀναδείξασα, ἄνθρωπον φύσει τῷ τοκετῷ σου, ἀνθρώπους δὲ Θεοὺς κατὰ χάριν.

Οἱ ἀναβαθμοί. Τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμ. Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα. Στίχ. Μὴ ἀπτεσθε τῶν χριστῶν μου. Πᾶσα πνοὴ Εὐαγγέλ. ζήτει τῇ ἑ. τῆς ιγ'. ἑβδομάδος τοῦ Λουκᾶ. Ὁ Ν'. Δόξα. Ταῖς τοῦ σοῦ Προφήτου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἐλεήμον ἐλέησόν με ὁ Θεός. Ἦχος πλ. δ'.

Τοῦ θείου ζήλου τὸ πῦρ, ἐν σῇ καρδίᾳ δεξάμενος, Ἠλία θεώνυμε, ὅλον τῆς ζωῆς σου τὸν δίαυλον, ἐν περὶ διετέλεσας· ἐν γὰρ τῇ γεννήσει σου μάκαρ, παρὰ τῶν Ἀγγέλων πῦρ ἐσιτίσθης, ἐν δὲ τῇ ζωῇ σου, τρισσάκις ἐξ Οὐρανοῦ πῦρ κατήνεγκας, καὶ ἐν τῷ τέλει σου, ἅρμα πυρὸς ἐξαρπάσαν, ὡς εἰς Οὐρανὸν ἀνεβίβασεν· ὦ τοῦ θαύματος! πῶς ὁ πήλινος ἀνδριὰς, χαλκευθεὶς ἐν τῇ δυνάμει τοῦ Πνεύματος, πύρινος ὅλος ἐγένετο! καὶ νῦν τῷ ἀύλῳ πυρὶ τῆς Θεότητος ἡνωμένος, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Μεγαλυνάριον.

Δεῦτε τὸν πυρίπνουν καὶ ζηλωτὴν, τὸν διὰ τεθρίππου, ἁρπαγέντα ἀπὸ γῆς· τῆς Χριστοῦ δευτέρας, Πρόδρομον παρουσίας, Ἠλίαν τὸν Θεσβίτην, ὕμνοις τιμήσωμεν.

Τροπάρια Δοξαστικὰ, ψαλλόμενα κατὰ τὸ Ἑσπέρας τῆς δεκάτης ἕκτης τοῦ Λὺγούστου, ὅτε ἡ ἀνακομιδὴ ἡ μετακομιδὴ ἐξ Ἐδέσσης εἰς τὴν Βασιλίδα τῶν Πόλεων ἑορτάζεται, τῆς ἀχειροποιήτου εἰκόνος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰς τὰ πρῶτα Στιχηρά. Δόξα. Ἦχος πλ. β'.

Τίς μὴ θαυμάσει τὰς δυναστείας σου Κύριε; ἢ τίς μὴ ἀξίως αἰνέσει τὴν σὴν συγκατάβασιν Δέσποτα; Σὺ γὰρ πρὸ αἰώνων ὑπάρχων, ὁμοούσιος καὶ ἀπαράλλακτος Εἰκὼν τοῦ Πατρὸς, ἐπ' ἐσχάτων τῶν χρόνων, ὅλον ἐκ Παρθένου προσείληφας, τὸν κατ' Εἰκόνα Θεοῦ γενόμενον ἄνθρωπον. Εἶτα καὶ τὴν Εἰκόνα τῆς Θεανδρικῆς σου Μορφῆς, ἐν σινδόνι ἀχειροποιήτως ἐτύπωσας, θαῦμα θεῖον ἀληθῶς, ὡς Θεοῦ Θέαν ὑπάρχουσαν, ἧς τὴν ἐξ Ἐδέσσης μετακομιδὴν, εἰς τὴν Βασιλίδα τῶν Πόλεων, σήμερον ἑορτάζομεν, καὶ ταύτην σχετικῶς προσκυνοῦντες, δεό-

Digitized by Google

μεθα, συγχώρησιν πταισμάτων δωρηθῆναι ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός.

Δεῦτε τὴν παγκόσμιον Κοίμησιν τῆς πανα μώμου Θεοτόκου.

Εἰς τὰ ἀπὸ Στίχον. Δόξα. Ἦχος πλ. ά.

Ὦ γλυκύτατε Χριστὲ καὶ παμπόθητε· ὦ κάλλει ὡραῖε ὑπὲρ πάντας ἀνθρώπους· πῶς σου ἡ Θεανδρικὴ Εἰκὼν ὡραιώθη! καὶ πηγὴ χαρίτων, θεοπρεπῶν ἀνεδείχθη! τὴν γὰρ Ἐκκλησίαν σου ὡς ἄλλον Οὐρανόν, ἐν τῷ μέσῳ ἱσταμένη, ἡλίου δίκην πανταχόσε καταλαμπρύνει, τοὺς ὁρῶντας αὐτὴν κατευφραίνει, καὶ πρὸς τὴν σὴν μνήμην, καὶ ἐπιπόθησιν διεγείρει, τοὺς προσκυνοῦντας ἁγιάζει, τοὺς ἀσπαζομένους, πρὸς σὲ τὸ Πρωτότυπον διαβιβάζει, καὶ πᾶσι τοῖς αἰτοῦσι παρέχει, ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος. Καὶ νῦν. Ὁ αὐτός.

Ἄσατε λαοὶ τῇ Μητρὶ τοῦ Θεοῦ ᾄσατε.

Εὐχὴ κοινὴ εἰς τὸν Κύριον, καὶ εἰς πάντας τοὺς Ἁγίους ἐξομολογητική.

Κύριέ μου Κύριε, γλυκύτατέ μου Ἰησοῦ Χριστὲ, ὁ Θεὸς τῶν οἰκτιρμῶν, ἡ τοῦ ἐλέους ἄβυσσος, ὁ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων· ἐμὲ μοτανοοῦντα ἀρτίως, καὶ πίστει προσερχόμενον ὑπόδεξαι, καὶ ἐλέησόν με τὸν ἁμαρτωλὸν, τὸν ἄσωτον, τὸν παμβέβηλον, τὸν πανάθλιον, τὸν βλάσφημον, τὸν ἐπίορκον, τὸν ψεύστην, τὸν λοίδορον, τὸν ὑβριστὴν, τὸν κατάλαλον, τὸν ὀργίλον, τὸν μνησίκακον, τὸν φθονερὸν, τὸν σκανδαλοποιὸν, τὸν ἄσπλαγχνον, τὸν ἀνελεήμονα, τὸν φιλοκτήμονα, τὸν φιλόδοξον, τὸν φιλήδονον, τὸν γαστρίμαργον, τὸν μέθυσον, τὸν βάθυμον, τὸν γελωτοποιὸν, τὸν μετεωριστὴν, τὸν κενόδοξον, τὸν ὑπερήφανον, τὸν καφρονητὴν τῶν θείων σου ἐντολῶν· καὶ μὴ διὰ τὸ πλῆθος τῶν τοσούτων μου ἐγκλημάτων, τῷ πλήθει ὑποβάλης με τῶν κολάσεων.

Ἀλλὰ, σὺ Κύριε Ἰησοῦ ὁ Θεός μου, ὁ μακρόθυμος καὶ οἰκτίρμων, οἰκτείρησον τὴν ἐμὴν καρδίαν, τὴν συντετριμμένην ταῖς ἁμαρτίαις, καὶ κατακεχριμένην ὑπὸ τοῦ συνειδότος διὰ τὸ μὴ φυλάξαι τὰς ἱερὰς συνθήκας τοῦ ἁγίου Βαπτίσματος, καὶ τοῦ θείου καὶ Ἀγγελικοῦ σχήματος τῶν μοναχῶν. Καὶ νῦν διὰ τὰς διττὰς ταύτας ὑποσχέσεις στενάζω, καὶ ὀδύρομαι, ἐλεηθῆναι δωρεὰν, καὶ μόνῃ τῇ σῇ χρηστότητι συγχωρηθῆναι δεόμενος, καὶ τῶν κολάσεων ἐλευθερωθῆναι ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως. Ναὶ, Κύριέ μου Κύριε, γλυκύτατέ μου Ἰησοῦ, σῶσόν με ἀπεγνωσμένον, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς ἐλπίδος, καὶ προσδοκίας μου. Οἰκτείρησόν με τὸν τοὺς οἰκτιρμούς σου ἐπικαλούμενον, καθάρισόν με τὸν ἐσπιλωμένον, λεύκανον τὸν ῥυπωθέντα μου χιτῶνα, καὶ διάσωσόν με τὸν ἄσωτον, μὴ κατακρίνῃς με τὸν κατακεχριμένον, μὴ παραδῶς τοῖς νοητοῖς θηρίοις ψυχὴν ἐπικαλουμένην σε· μὴ τῇ φλογὶ τῆς γεέννης καταδικάσῃς με, διὰ τὴν παράβασιν τῶν ὑποσχέσεων καὶ ἱερῶν συνθηκῶν τοῦ ἁγίου Βαπτίσματος, καὶ τοῦ Ἀγγελικοῦ σχήματος.

Κύριέ μου Κύριε, γλυκύτατέ μου Ἰησοῦ, ὁ μακρόθυμος, καὶ ἀνεξίκακος, καὶ ἀμεταμέλητος ἐν τοῖς χαρίσμασιν, ὁ ὁδηγήσας με πρὸς τὴν Ἀγγελικὴν διαγωγήν· καταξίωσόν με ἀπὸ τῆς σήμερον εἰλικρινῶς σοι λατρεῦσαι ἐν ἀγαθοῖς ἔργοις, πρὸς τὸ ποιῆσαί τινα καρπὸν τῆς μετανοίας ἐπάξιον, καὶ διατηρῆσαι ὁσίως τὸ τῆς μοναδικῆς πολιτείας ἐπάγγελμα, καὶ ἐκπληρῶσαι τὰς ἱερὰς συνθήκας, ἀμώμους καὶ ὁλοκλήρους. Κύριέ μου Κύριε, γλυκύτατε μου Ἰησοῦ, Παντοκράτορ, μεγαλοδύναμε, κραταιέ· ἐμφύτευσον τῇ καρδίᾳ μου τὸν φόβον σου, καὶ τὴν ἀγάπην τῶν νόμων σου. Τὸν νοῦν μου καταύγασον ταῖς ἀκτῖσι τῶν χαρισμάτων σου, τὰς αἰσθήσεις μου τῷ λόγῳ σου ὑπόταξον, τὴν θέλησίν μου πρὸς σὲ τὸ μόνον ἀληθινὸν ἐφετὸν ἐπίστρεψον, τὴν γλῶσσάν μου παιδαγώγησον, ἵνα λέγῃ καθ' ἑκάστην, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ, διὰ τῆς μακαρίας, ἀειπαρθένου Θεοτόκου, ἱκάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ σῶσόν με. Κύριε, διὰ τοῦ τιμίου σου καὶ ζωοποιοῦ Σταυροῦ φύλαξόν με. Κύριε, διὰ τῶν Ἁγίων σου Ἀγγέλων τείχισόν με. Κύριε, διὰ τῶν Ἁγίων σου Ἀποστόλων καὶ Μαρτύρων ὅπλισόν με. Κύριε, διὰ τῶν Ἁγίων σου πάντων κατάπεμψον ἐπ' ἐμὲ τὸ μέγα σου ἔλεος, καὶ δωρεὰν σῶσόν με τὸν ὠνητὸν τῷ ὑπερτίμῳ σου αἵματι.

Τὰς πολυχρονίους τῶν ἁμαρτιῶν μου κηλίδας ἐξάλειψον, τὰ τῆς λαγνείας καὶ πονηρίας πνεύματα ἀπ' ἐμοῦ ἀποδίωξον, τῶν τοῦ παρόντος αἰῶνος προσπαθειῶν με ἀπάλλαξον, ὅλον με πρὸς τὴν ἀγάπην τῆς ἀϊδιότητος ἕλκυσον, καὶ τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν ὁδεύειν ἐνίσχυσον, μέχρι τῆς ἐσχάτης μου ἡμέρας καὶ ὥρας καὶ ἀναπνοῆς, ὅπως Ἀγγέλοις ἀγαθοῖς τὴν ψυχήν μου ἀναθῶ, καὶ τῶν τελωνίων τοῦ ἀέρος ἐλευθερωθῶ, καὶ τοῖς ἀπ' αἰῶνος Ἁγίοις συναριθμηθῶ, καὶ τῶν αἰωνίων ἀγαθῶν καταξιωθῶ.

Digitized by Google

Εὐσπλαγχνικωτάτη τοῦ γλυκυτάτου μου Ἰησοῦ Μήτηρ, πρέσβευε ὑπὲρ ἐμοῦ τοῦ ἀθλίου καὶ ἁμαρτωλοῦ, ἵνα εἰσακούσῃ μου τῆς πενιχρᾶς δεήσεως ὁ Υἱὸς καὶ Θεός σου. Σταυρὲ πανσεβάσμιε, τὸ ὅπλον τῆς σωτηρίας ἡμῶν, τῆς ἡμετέρας σωτηρίας τὸ σύμβολον· ἀποδίωξον ἀπ' ἐμοῦ πάντα πονηρὸν λογισμόν, καὶ πᾶσαν ἐπιβουλὴν τῆς τοῦ ἀντικειμένου δυνάμεως, διὰ δαιμόνων καὶ ἀνθρώπων ἐνεργουμένην. Παμμέγιστοι Ταξιάρχαι, Μιχαὴλ καὶ Γαβριὴλ, ἐγγυηταί μου καὶ ῥῦσται. Ἅγιε Ἄγγελε, φρουρέ μου καὶ φύλαξ, καὶ πάντες Ἅγιοι Ἄγγελοι τοῦ Θεοῦ, ὁδηγεῖτέ με εἰς τὸ πανάγιον τοῦ Θεοῦ θέλημα, ἀντιλαμβάνεσθέ μου τῆς ἀσθενείας, ἣν καὶ σώματι καὶ γνώμῃ περίκειμαι· φυλάττετέ με ἐκ τῶν ἐπιβουλῶν τοῦ ἐχθροῦ, καὶ πρεσβεύσατε τῷ ἐλεήμονι Δημιουργῷ, ἵνα ἐλεήσῃ με τὸν παραβάτην τῶν ἁγίων αὐτοῦ ἐντολῶν, καὶ ἐν εἰρήνῃ ψυχῆς, καὶ μετανοίᾳ ἀληθινῇ δῴη μοι πολιτεύεσθαι μέχρι τοῦ τῆς ζωῆς μου τέλους. Καὶ ἐν τῇ ἐξόδῳ τῆς ψυχῆς μου ἀπὸ τοῦ σώματος, παράστητέ μοι ἐγγύθεν παρήγοροι, περιθάλποντες, περιφρουροῦντες καὶ πληροφοροῦντές μοι τὴν ἀπαλλαγὴν τῶν ὑπὸ γῆν κολαστηρίων, διὰ μόνην τὴν τοῦ Θεοῦ ἐλεημοσύνην.

Ἅγιε ἔνδοξε Ἰωάννη, Προφῆτα καὶ Πρόδρομε καὶ Βαπτιστὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι ἔνδοξοι Θεοκήρυκες καὶ πρωτοκορυφαῖοι Ἀπόστολοι, Πέτρε, Παῦλε, Ἰωάννη Θεολόγε, σὺν τοῖς λοιποῖς Εὐαγγελισταῖς καὶ Ἀποστόλοις, πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι καὶ δίκαιοι Θεοπάτορες Ἰωακεὶμ καὶ Ἄννα, Ἰωσὴφ μνήστωρ καὶ Συμεὼν Θεοδόχε, πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι Προφῆται καὶ κήρυκες τῆς παρουσίας Χριστοῦ τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι Πατέρες, Ποιμένες καὶ Διδάσκαλοι τῆς οἰκουμένης, Βασίλειε, Γρηγόριε, Ἰωάννη Χρυσόστομε, Ἀθανάσιε, Κύριλλε, Νικόλαε, Σπυρίδων καὶ πάντες Ἅγιοι Ἱεράρχαι, πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι ἱερομάρτυρες, ὁσιομάρτυρες καὶ ὁμολογηταί, πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι μεγαλομάρτυρες, Δημήτριε, Γεώργιε, Θεόδωρε, Ἀρτέμιε, Προκόπιε, οἱ τεσσαράκοντα καὶ πάντες ἅγιοι μάρτυρες, πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ.

Ἅγιοι Ἀνάργυροι καὶ θαυματουργοί, Κοσμᾶ καὶ Δαμιανὲ, Κῦρε καὶ Ἰωάννη, Παντελεήμον καὶ Ἑρμόλαε καὶ οἱ λοιποὶ, πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ὅσιοι θεοφόροι πατέρες Ἀντώνιε, Παῦλε, Εὐθύμιε, Σάββα, Ἀρσένιε, Ὀνούφριε, Παχώμιε, Θεοδόσιε, Ἐφραὶμ, Ἰωάννη Δαμασκηνὲ, Ἰωάννη τῆς κλίμακος, Πέτρε, Ἀθανάσιε καὶ πάντες ὅσιοι πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ὁσία Μαρία Αἰγυπτία καὶ ὅσαι τῶν τιμίων καὶ ὁσίων γυναικῶν, αἱ καλῶς ἀσκήσασαι καὶ ἀθλήσασαι, καὶ τὸν Χριστὸν ὁμολογήσασαι, πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι Πάντες, οἱ ἀπ' αἰῶνος εὐαρεστήσαντες τῷ Κυρίῳ, καὶ ἐν τῇ Βίβλῳ ταύτῃ περιεχόμενοι, πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἀναπολογήτου καὶ ὑπὲρ πάντας τοὺς ἀπ' αἰῶνος ἁμαρτωλοὺς ἁμαρτωλοῦ. Ὧν τὰς ἱκεσίας καὶ παρακλήσεις προσδεξάμενος καὶ εἰσακούσας, Κύριέ μου Κύριε γλυκύτατέ μου Ἰησοῦ, συγχώρησόν μοι εἴ τί σοι ἥμαρτον ἀπὸ γεννήσεώς μου καὶ μέχρι τῆς νῦν ἡμέρας καὶ ὥρας, ἐν λόγῳ, ἔργῳ, γνώσει καὶ ἀγνοίᾳ, κατὰ νοῦν καὶ διάνοιαν, καὶ ἐν πάσαις μου ταῖς αἰσθήσεσιν. Ὡσαύτως συγχώρησον καὶ ἐλέησον καὶ τοὺς πατέρας καὶ ἀδελφούς μου, καὶ πάντας τοὺς ἁπανταχοῦ ἀρχιερεῖς, ἱερεῖς, μοναχοὺς καὶ ὀρθοδόξους χριστιανοὺς καὶ τοὺς μισοῦντας καὶ ἀγαπῶντάς με, καὶ τοὺς ἐλεοῦντας καὶ διακονοῦντάς μοι, καὶ τοὺς ἐντειλαμένους μοι τῷ ἀναξίῳ εὔχεσθαι ὑπὲρ αὐτῶν. Καὶ οὓς ἔβλαψα, ἢ ἐλύπησα, ἢ κατηρασάμην, καὶ τοὺς τὰ αὐτά μοι ποιοῦντας. ἢ ποιήσαντας. Καὶ χάρισαι τὰ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, ὡς εὐδοκεῖ ἡ φιλανθρωπία σου. Ἀνάπαυσον καὶ τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν. Καὶ δι' εὐχῶν πάντων οἰκτείρησόν μου τὴν ἀθλιότητα, καὶ ποίησόν με οἷον θέλεις, καὶ ὡς θέλεις, κἂν θέλω, κἂν μὴ θέλω.

Καὶ καταξίωσόν με ἀνενόχως καὶ ἀκατακρίτως μεταλαβεῖν τῶν ἀχράντων καὶ ζωοποιῶν σου μυστηρίων, καὶ μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα γένοιτό μοι, ἀναξίως τούτοις προσερχομένῳ, ἀλλ' εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς ἀπαλλαγὴν τῶν αἰωνίων κολάσεων, καὶ εἰς ἀραβῶνα τῆς ἀτελευτήτου καὶ μακαρίας ζωῆς, ἐν ᾗ σύνταξόν με μετὰ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Κύριέ μου Κύριε γλυκύτατέ μου Ἰησοῦ. Ὅτι σοι πρέπει ἡ δόξα, ἡ τιμὴ καὶ ἡ ἐκ πάντων προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ σου Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Digitized by Google

ΔΙΑΤΡΙΒΗ

Περὶ τοῦ

ΠΟΤΕ ΕΓΕΝΕΤΟ Η ΤΟΥ ΚΥΡΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΙΣ

Συγγραφεῖσα ὑπὸ

ΔΩΡΟΘΕΟΥ ΕΥΕΛΠΙΔΟΥ, Ἀρχιμανδρίτου Βατοπαιδίου.

Ἐν Πειραιεῖ, τὴν 4 Σεπτεμβρίου 1868.

Φίλε Θεμιστόκλεις,

Συντάξας ἐσπευσμένως, κατὰ τὴν ἐπίμονον αἴτησίν Σου, πέμπω τὴν περὶ τοῦ Πότε ἐγένετο ἡ τοῦ Κυρίου Μεταμόρφωσις διατριβήν, ἵνα ἐκδοθῇ ὡς ἐπίμετρον τοῦ περαιωθέντος Συναξαριστοῦ. Ἐὰν δὲ αὐτὴ λείπηται τῆς πρεπούσης αὐτῇ ἀκριβείας, ἐμβριθείας καὶ σπουδαιότητος, αἰτία τούτου θεωρείσθω ἡ ἔλλειψις τοῦ χρόνου καὶ τῶν ἀναγκαιουσῶν βιβλίων, ὧν ἄνευ οὐδὲν γενναῖον παράγεται. Ἀλλὰ καὶ τοιαύτη οὖσα οὐδαμῶς ἀσυντελὴς ἔσται τοῖς πολλοῖς, ὧν χάριν καὶ συνετάχθη.

Ἐπεύχομαί Σοι ὑγιείαν καὶ ἐπίδοσιν εἰς ἐκδοσιν καὶ ἄλλων κοινωφελῶν βιβλίων.

Ὁ φίλος Σου
ΔΩΡΟΘΕΟΣ ΕΥΕΛΠΙΔΗΣ.

Ὅτε ὁ ἡμέτερος Σωτὴρ, περιπατῶν ἐν τῇ Γαλιλαίᾳ, καὶ κατὰ τὰ μέρη Καισαρείας τῆς Φιλίππου ἐρωτήσας τοὺς μαθητὰς αὐτοῦ ὁποῖόν τινα φρονοῦσιν αὐτὸν, ἤκουσε τὴν ὁμολογίαν: Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος (α)· εἶδε πεπληρωμένον τὸ πρῶτον τῆς θείας αὐτοῦ ἀποστολῆς ἔργον, ὅπερ, κατὰ τὴν πρὸς τὸν Πατέρα ἐξομολόγησιν, ἦτο νὰ διδάξῃ τοὺς ἀνθρώπους, ἵνα γινώσκωσι τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλεν Ἰησοῦν Χριστὸν (β). Ἰδὼν λοιπὸν ὁ τῆς μεγάλης βουλῆς ἄγγελος ἐκπληρωθὲν οὕτω τὸ πρῶτον, ὃ δέδωκεν αὐτῷ ὁ Πατὴρ, ἔργον, ἤρξατο νὰ προπαρασκευάζηται καὶ εἰς τὸ δεύτερον, ὅπερ ἦτο τὸ σωτήριον Πάθος, δι' οὗ ἔμελλε νὰ καταλλάξῃ πρὸς τὸν Θεὸν τὸν ἀποστάτην ἄνθρωπον, καὶ ἐλευθερώσῃ αὐτὸν τῆς δουλείας τοῦ διαβόλου. Πρὸς τοῦτο ὅμως ἦτο ἀνάγκη μεγάλης προπαρασκευῆς, ὅπως μὴ τὸ αἰφνίδιον τοῦ ἔργου καὶ τὸ ἀκατανόητον τοῦ μεγίστου μυστηρίου ῥίψῃ αὐτοὺς εἰς ἀπόγνωσιν, καὶ καταστραφῇ ἐπομένως καὶ τὸ μέχρι τοῦδε ἐπιτευχθὲν, ὅπως ὀλίγῳ πρότερον ὁμιλῶν περὶ τοῦ μυστηρίου τῆς θείας εὐχαριστίας ἐγκατελείφθη ὑπὸ τῶν ἄλλων αὐτοῦ μαθητῶν (α). Διὰ τοῦτο ἀπὸ τότε, ἀφ' ὅτου ὡμολόγησαν αὐτὸν υἱὸν Θεοῦ, ἤρξατο, ἵνα ἠρέμα καὶ κατὰ μικρὸν ῥίπτῃ εἰς τὰς ἀκοὰς αὐτῶν τὸν περὶ τούτου λόγον, προπαρασκευάζων αὐτοὺς βαθμηδὸν, ὅπως κατανοήσαντες τὰ περὶ τοῦ σωτηρίου Πάθους μὴ σκανδαλισθῶσιν, ὅταν ἴδωσιν αὐτὸν ἐπὶ τοῦ Σταυροῦ. Ἡ δὲ τοῦ μεγίστου τούτου τῷ ὄντι μυστηρίου, τοῦ παθεῖν Θεὸν ἐν σαρκὶ, κατανόησις ἦτο ἀληθῶς δυσχερὴς, καὶ ἀπητεῖτο καιρὸς, ὅστις ν' ἀρκέσῃ πρὸς τοῦτο. Ἡ δυσχέρεια δὲ αὕτη ἐδείχθη ἀπ' αὐτῆς τῆς ἀρχῆς· διότι, καίτοι λίαν εὐκρινῶς ἤρξατο δεικνύειν αὐτοῖς, ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἱεροσόλυμα καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ ἀποκτανθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι (β), οἱ μαθηταὶ οὐ μόνον ἐνεοὶ καὶ ἐμβρόντητοι ἔμειναν εἰς τὸ ἄκουσμα, ἀλλὰ καὶ ὁ θερμότερος τῶν μαθητῶν ἤρξατο ἐπιτιμᾷν αὐτῷ, λέγων, ἵλεώς σοι, Κύριε· οὐ μὴ ἔσαι σοι τοῦτο (γ). Τότε λοιπὸν ἀρχόμενος ὁ Κύριος τοῦ δευτέρου ἄθλου τῆς θείας αὐτοῦ ἀποστολῆς, ἤρξατο ὑψῶν βαθμηδὸν τὸ φρόνημα τῶν μαθητῶν, καταδεικνύων, ὁποῖον ἀπαιτεῖ τὸν ἀληθῆ καὶ τέλειον αὐτοῦ μαθητὴν καὶ ὀπαδὸν, καὶ ἀναπτύσ-

(α) Ματθ. ις', 16. (β) Ἰωάν. ιζ', 3.

(α) Ἰωάν. ς', 66. (β) Ματθ. ις', 21. (γ) Αὐτ. 22.

Digitized by Google

σων, ὅτι ὁ θέλων τοιοῦτος εἶναι ὀφείλει, καταπτύων τὴν ματαιότητα τοῦ κόσμου, ν' ἀπαρνηθῇ ἑαυτόν, καὶ αἴρων τὸν σταυρὸν τοῦ υἱοῦ τοῦ Θεοῦ ἀκολουθήσῃ αὐτὸν ὅλῃ ψυχῇ καὶ καρδίᾳ, θυσιάζων καὶ τὴν αὐτοῦ ζωὴν, ἀνθ' ἧς θέλει ἔχει τὴν οὐράνιον μακαριότητα, εἰς ἣν θέλει εἰσαγάγει αὐτὸν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ ἀποδίδων ἑκάστῳ κατὰ τὰ ἴδια ἔργα. Θέλων δὲ ἵνα βεβαιώσῃ αὐτοὺς περὶ τῆς θείας ταύτης μακαριότητος, μετὰ ἓξ ἡμέρας παραλαβὼν τὴν τῶν κορυφαίων τριάδα ἀνέβη εἰς ὄρος ὑψηλόν, κἀκεῖ παραστήσας καὶ τοὺς δύο κορυφαίους ἄνδρας τοῦ Νόμου, παρέδειξεν αὐτοῖς, ὅσον ἦτο δυνατὸν νὰ κατίδωσιν, ἀκτῖνάς τινας τῆς θείας αὐτοῦ δόξης.

Πρῶτον λοιπὸν καὶ ἄμεσον καὶ ἐγγυτέρω αἴτιον τῆς φρικτῆς Μεταμορφώσεως ἦτο αὐτὸ τοῦτο, ἡ κατάδειξις τῆς ἐν τῇ μελλούσῃ ζωῇ μακαριότητος. Δεύτερον δὲ καὶ ἔμμεσον καὶ οἱονεὶ ἀπωτέρω, τὸ νὰ προπαρασκευάσῃ τοὺς μαθητὰς, ὅπως κατανοήσωσι τὸν τοῦ πάθους λόγον, περὶ οὗ ἐλάλουν καὶ οἱ φανέντες δύο ἔξαρχοι τοῦ Νόμου, οἳ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ (α). Τὰ δύο ταῦτα ᾄδει καὶ ἡ Ἐκκλησία ὡς τὰ αἴτια τῆς Μεταμορφώσεως τοῦ Σωτῆρος. Τὸ μὲν πρῶτον διὰ τοῦ Ἀπολυτικίου τῆς ἑορτῆς «Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεὸς, δείξας τοῖς μαθηταῖς σου τὴν δόξαν σου καθὼς ἠδύναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς τὸ φῶς σου τὸ ἀΐδιον.» Ὧ τινι ὡς παράλληλον, καὶ ὡς ἐν μορφῇ αἰτίου συντεταγμένου, συναπτέον καὶ τὸ τῆς θ' ᾠδῆς τοῦ β' κανόνος τροπάριον τοῦτο: «Ἵνα σου δείξῃς ἐμφανῶς τὴν ἀπόῤῥητον δευτέραν κατάβασιν, ὅπως ὁ Ὕψιστος Θεὸς ὀφθήσῃ ἐστὼς ἐν μέσῳ Θεῶν, τοῖς Ἀποστόλοις ἐν Θαβὼρ Μωσεῖ σὺν Ἠλίᾳ τε ἀῤῥήτως ἔλαμψας.» Τὸ δὲ δεύτερον διὰ τοῦ Κοντακίου: «Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς, ἐθεάσαντο· ἵνα, ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς τοῦ Πατρὸς τὸ ἀπαύγασμα.» Ἐκ τούτων τῶν δύο ὡς τὸ μόνον καὶ κατ' ἐξοχὴν αἴτιον τῆς Μεταμορφώσεως θεωροῦσι τὸ πρῶτον οἱ Εὐαγγελισταὶ (β) καὶ οἱ ἀρχαιότεροι Πατέρες (α)· τὸ δὲ δεύτερον οἱ νεώτεροι Διδάσκαλοι (β). Διὰ ταῦτα καὶ ἡ ἀκολουθία τῆς ἑορτῆς ταύτης δύο ἰδίους καὶ ἀσυγχύτους ἔχει χρωματισμούς. Οὕτως οἱ μὲν Κανόνες ἔχουσιν ἀφετηρίαν τὸ πρῶτον αἴτιον, τὰ δὲ τοῦ Ἑσπερινοῦ, τῆς Λιτῆς καὶ τῶν Αἴνων μέλη τὸ δεύτερον. Αἰτία δὲ τῆς διαφορᾶς ταύτης εἶναι, ὅτι οἱ μὲν Κανόνες εἶναι ποίημα Κοσμᾶ καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ, τὰ δὲ νεωτέρων. Τούτου τὴν αἰτίαν θέλομεν ἰδεῖ κατόπιν.

Καίτοι δὲ ἡ Μεταμόρφωσις, κατὰ τὸν λόγον τοῦ δευτέρου αἰτίου, σχετίζεται πρὸς τὸ πάθος· ἡ σχέσις αὕτη εἶναι ὡς ἡ τῆς ἀρχῆς καὶ τοῦ τέλους, τῆς ἀφετηρίας καὶ τῆς νύσσης, μεταξὺ δὲ αὐτῶν παρενέπεσεν ἱκανὸν χρονικὸν διάστημα, καθ' ὃ ἦτο ἀνάγκη νὰ προπαρασκευασθῶσιν οἱ μαθηταὶ νὰ χωρήσωσι τὸν περὶ τούτου λόγον. Καὶ τοῦτο ἀφ' ἑαυτοῦ σαφέστατον· διότι, ἂν διὰ νὰ ἐννοήσωσι καὶ ὁμολογήσωσι τὸν Σωτῆρα Υἱὸν τοῦ Θεοῦ παρῆλθον δύο σχεδὸν ἔτη, ἱκανὸς βεβαίως χρόνος ἔπρεπε νὰ διέλθῃ ὅπως κατανοήσαντες παραδεχθῶσι τὸν τοῦ πάθους λόγον. Τοῦτο δὲ ἡλίου φαεινότερον δεικνύουσιν οἱ Εὐαγγελισταὶ, ὡς θέλομεν ἰδεῖ. Καὶ ὅμως εὑρέθησαν τινὲς, ὧν οἱ μὲν ἠθέλησαν νὰ συστείλωσι τὸ διάστημα τοῦτο εἰς βραχύτατα ὅρια, οἱ δὲ καὶ σχεδὸν νὰ μηδενίσωσιν αὐτό. Οὕτω τινὲς μὲν εἶπον, ὅτι δύο ἡμέρας πρὸ τοῦ πάθους, ἤτοι τῇ μεγάλῃ τετράδι, ἐγένετο ἡ Μεταμόρφωσις. Τὸ ἄτοπον τῆς γνώμης ταύτης κατέδειξε Μιχαὴλ ὁ Γλυκᾶς (γ),

(α) Λουκ. θ', 31. (β) Ματθ. ις', 28. Μαρκ. θ', 1. Λουκ. θ', 27.

(α) Ὠριγέν. εἰς Ματθ. τόμ. ιϐ', κεφ. 31.—Χρυσόστομ. Νς'. ὁμιλ. εἰς Ματθ.—καὶ οἱ εἰς τὴν ἑορτὴν ταύτην πλεξαντες λόγους: Πρόκλος ἐν λόγῳ Π'. (κειμένῳ ἐν τῇ ὑπὸ τοῦ Migne ἐκδοθείσῃ Πατρολογίᾳ τόμ. ΞΕ'. σελ. 755)—Βασίλειος Σελευκείας Λόγ. Μ', (Π. Τ. ΠΕ'. σελ. 453)—Ἀνδρέας Κρήτης Λόγ. Ζ'. (Π. Τ. γζ' σελ. 932)—Ἰωάννης Δαμασκηνὸς Λόγ. Α'. (Π. Τ. γς'. σελ. 545.)

(β) Θεοφάνης Κεραμεὺς ἐν ὁμιλ. Ξ'. σελ. 251 ἐκδ. Ἱεροσολ. καὶ ἄλλοι.

(γ) Ἐν Χρονικῷ Γ'. σελ, 215. «Οἶδα, ὅτι καὶ τὴν Με» ταμόρφωσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῇ μεγάλῃ » τετράδι γενέσθαι τινὲς ἀπομάχονται. Πλὴν ὁ λόγος αὐτῶν, » ὡς ἔμοιγε δοκεῖ, καὶ λίαν ἐστὶν ἀναπόδεικτος. Εἰ γὰρ τὸ » θαῦμα τοῦτο κατὰ τὸ Θαβώριον ὄρος ἐγένετο, ἐν Ἱεροσολύ» μοις δὲ ὁ Κύριος κατὰ γε τὴν μεγάλην τετράδα παρὰ τῇ » οἰκίᾳ Σίμωνος τοῦ Λεπροῦ ἐστιώμενος ἦν, φαίνεται προ» φανῶς, ὡς ἐν ἄλλῃ γενέσθαι ἡμέρᾳ τὸ τῆς Μεταμορφώσεως » θαῦμα, καὶ οὐ κατὰ τὴν τετράδα πάντως αὐτήν. Εἰ γὰρ ἀ» ναμέσον τοῦ τε Θαβὼρ καὶ τῶν Ἱεροσολύμων ὡσεὶ δύο ἡ» μερῶν ὑπάρχει διάστημα, πῶς λοιπὸν ἐν μιᾷ ἡμέρᾳ τῇ αὐ-

Digitized by Google

μηδὲν ὅμως εἰπών, τί καὶ αὐτὸς φρονεῖ περὶ τῆς ἀληθοῦς ἐποχῆς αὐτῆς. Τινὲς δὲ, ὅτι πρὸ ὀκτὼ ἡμερῶν. Τούτους κατεπάλαισεν ὁ ἀοίδιμος Εὐγένιος ὁ Βούλγαρις ἐν τῇ εἰκοστῇ τῶν ἀνεκδότων αὐτοῦ ἐπιστολῶν (α), ἀποδείξας διὰ τῆς ἁρμονίας τῶν Εὐαγγελιστῶν τὸν ἀληθῆ αὐτῆς καιρὸν, συμπυκνώσας εἰς στενώτατα ὅρια τὰ ἀπὸ τῆς Μεταμορφώσεως μέχρι τοῦ Πάθους γεγονότα, κατὰ τὴν αὐτὴν τάξιν, καθ' ἣν κατὰ πλάτος ἐξέθηκεν ἐν τῇ Ἑκατονταετηρίδι. Ἄλλοι τέλος, οἷς συμφωνεῖ καὶ ὁ τοῦ Συναξαριστοῦ πρῶτος ἐκδότης Νικόδημος (β), ὅτι ἐγένετο πρὸ τεσσαράκοντα ἡμερῶν. Ἡ γνώμη αὕτη δυστυχῶς διὰ τοῦ Συναξαριστοῦ ἐπεκράτησε παρὰ τοῖς πολλοῖς, οὐδενὸς μέχρι τοῦδε φανέντος, ἵνα καταπολεμήσῃ αὐτήν. Μόνος, καθόσον ἐγὼ γνωρίζω, ὁ τῆς ἀοιδίμου μνήμης Κωνσταντῖνος ὁ Οἰκονόμος ἐν παρόδῳ που (γ) εἶπεν αὐτὴν «Ἐναντίαν τῆς Εὐαγγελικῆς ἱστορίας, ἐξ ἀδεσπότων πηγῶν, καὶ γελοῖον τὸ ἐπαγόμενον συμπέρασμα: Ὅτι διὰ τοῦτο ἡ ἐυρτὴ τῆς Μεταμορφώσεως διωρίσθη τῇ ς' Αὐγούστου, τουτέστι 40 ἡμέρας πρὸ τῆς ὑψώσεως, ἥτις ἑορτάζεται τῇ ιδ' Σεπτεμβρίου, εἰκονίζουσα τὴν σταύρωσιν!» Ἀλλὰ καὶ αὐτὸς οὐδὲν περιπλέον εἶπεν, ἵν' ἀποδείξῃ τὸ ἐναντίον, τὸ ἀδέσποτον καὶ τὸ γελοῖον αὐτῆς. Ἐπειδὴ δὲ ἤδη διὰ τῆ; δευτέρας ἐκδόσεως τοῦ Συναξαριστοῦ θέλει διαιωνισθῇ ἡ ἀπάτη αὕτη, καὶ τὰ πλήθη τῶν πιστῶν θέλουσιν ἐξακολουθήσει νὰ θεωρῶσιν ὡς ἀληθῆ τὴν ἱστορικὴν ταύτην πλάνην· διὰ τοῦτο ἐνόμισα καθῆκον, ἵνα, γράψας τὴν μικρὰν ταύτην Διατριβήν, Α' μὲν ἀνασκευάσω τὰ πεπλανημένα ἐπιχειρήματα τῶν περὶ τὸν Νικόδημον, Β' δὲ διορίσω τὴν ἀληθῆ ἐποχὴν τῆς Μεταμορφώσεως.

» τῇ λέγουσιν ἔν τε Θαβὼρ εὑρεθῆναι καὶ ἐν Ἱεροσολύμοις » τὸν Χριστόν;»

(α) Αἱ ἐπιστολαὶ αὗται περὶ τὰς γϐ' οὖσαι τὸν ἀριθμὸν ἐν ἑνὶ τεύχει ὑπ' αὐτοῦ τοῦ Συγγραφέως παρασκευασθέντι πρὸς ἔκδοσιν εὑρίσκονται ἐν χερσὶ τοῦ φίλου Σοφοκλέους Οἰκονόμου, ὅστις, καθὰ προανήγγειλε, μέλλει αὐτὰς τύποις ὁσονοῦπω ἐκδοῦναι. Ἡ προκειμένη ἐπιστολὴ ἄρχεται «Τὸ ἀπὸ τῆς ἐν » τῷ Θαβωρίῳ ἐνδόξου Μεταμορφώσεως εἰς τὴν διὰ τῶν ἑ » κουσίων παθῶν τοῦ Κυρίου ἡμῶν σωτήριον οἰκονομίαν γρο » νολογοῦντας ἐν ᾗ ἡ ὀκτὼ τὸ πλεῖστον παρατείνειν ἡμερῶν » διαστήματι, μόνους ἂν φαίην ἐγὼ τοὺς ἤτοι τῶν ἱερῶν Εὐαγ » γελίων μηδέποτε ἀκροασαμένους, ἢ ψιλοῖς, ὁ φασὶ, τοῖς ὠ » σὶν ἀκούσαντας.»

(β) Ἐν σημειώσει κατὰ τὴν ς' Αὐγούστου.

(γ) Τῶν Σωζομένων τόμ. Α'. σελ. 541.

Α

Ἡ περὶ τούτου μακρὰ σημείωσις τοῦ Νικοδήμου δύναται νὰ διαιρεθῇ εἰς τρία μέρη: ά, πρότασιν διὰ μαρτυρίας, β', κατασκευὴν καὶ γ', ἀναίρεσιν τῆς ὀρθῆς γνώμης. Καὶ κατὰ τὰ τρία δὲ μεγάλην ἀπάτην ἀπατᾶται ὁ πολυγραφικώτατος οὗτος μοναστὴς τοῦ ἡμετέρου Ἄθωνος. Ἰδοὺ ἡ πρότασις τοῦ Νικοδήμου:

«Κατὰ τὸν Καισαρείας Εὐσέβιον (παρὰ Κορεσσίῳ) καὶ τοὺς περισσοτέρους Διδασκάλους τῆς Ἐκκλησίας, ἡ Μεταμόρφωσις ἔγεινε πρὸ τοῦ πάθους τεσσαράκοντα ἡμέρας.»

Καισαρείας Εὐσέβιος ἐνταῦθα πάντως νοεῖται ὁ πατὴρ τῆς Ἐκκλησιαστικῆς ἱστορίας, ὁ συνήθως ἐπωνυμούμενος Παμφίλου· διότι οὐδένα ἕτερον Καισαρείας Εὐσέβιον ἐκκλησιαστικὸν συγγραφέα γνωρίζω. Οὗτος λοιπὸν ὁ Καισαρείας Εὐσέβιος ἐν τίνι αὐτοῦ συγγράμματι καὶ ποίῳ αὐτοῦ μέρει ἀναφέρει τοῦτο; Οὐδὲ ὁ Νικόδημος αὐτὸς γνωρίζει. Καὶ πόθεν δὲ ἤθελε γνωρίζει, ὅταν οὐδαμοῦ τῶν αὐτοῦ συγγραφῶν λέγῃ τι περὶ τούτου ὁ Εὐσέβιος; Ἵνα δὲ ἀποφύγῃ τὴν τοιαύτην ἐξέλεγξιν ἀρκεῖται νὰ σημειώσῃ τὸ παρὰ Κορεσσίῳ, ὡσανεὶ ἀνέγνω τοῦτο τὸ χωρίον παρὰ τῷ πολυμαθεῖ τούτῳ θεολόγῳ. Ἀλλὰ καὶ ἐνταῦθα ἡ αὐτὴ ζήτησις προκύπτει, ἐν τίνι αὐτοῦ συγγράμματι καὶ ποίῳ αὐτοῦ μέρει; Διότι ἱκανὰ συγγράμματα συνέγραψεν ὁ σοφὸς οὗτος Χῖος (α)· καὶ ὅλα ταῦτα ἀνέκδοτα, ἐκτὸς μόνον ἑνὸς ἐκδοθέντος ὑπὸ Δοσιθέου, ἐν Τόμῳ Καταλλαγῆς. Πῶς λοιπὸν ἠδύνατό τις νὰ βασανίσῃ τὴν ἀλήθειαν τῶν ὑπὸ τοῦ Νικοδήμου παρατεθεισῶν μαρτυριῶν ἀφ' οὗ οὔτε τὸ μέρος τῶν συγγραμμάτων σημειοῦται, οὔτε τὰ συγγράμματα αὐτὰ εἶναι ἐκδεδομένα; Εὐτυχῶς ὁ Θεὸς τῆς ἀληθείας ηὐδόκησε ν' ἀνεύρω τὸ θεολογικὸν τοῦ Κορεσσίου (β), ἐν ᾧ ἀνεκάλυψα τὴν περὶ τῆς Μεταμορφώσεως πραγματείαν αὐτοῦ. Ἀλλὰ τί νομίζετε ὅτι γράφει ἐν αὐτῇ περὶ τῆς ἐποχῆς τοῦ γεγονότος τούτου; Ἰδοὺ τὸ χωρίον· «Ἐγένετο δὲ ἡ Μεταμόρφωσις κατὰ τὸν Ἀλέξανδρέα Ἀμμώνιον ἐν τῇ Εὐαγγελικῇ Ἁρμονίᾳ με-

---

(α) Κ. Σάθα, Νεοελληνικῆς Φιλολογ. σελ. 247.

(β) Τὸ χειρόγραφον τοῦτο θεολογικὸν, γραφὲν ὑπὸ Κωνσταντίνου Σπάρταλη ἀναγνώστου, καὶ κτῆμα ὂν τῆς Βιβλιοθήκης τῆς ἐν Τυρνάβῳ Σχολῆς, πεπίστευται ἀπό τινος χρόνου τῷ φίλῳ Σοφοκλεῖ Οἰκονόμῳ, ὅστις χαριζόμενός μοι ἐδωκεν αὐτὸ εἰς μελέτην.

Digitized by Google

τὰ τὸν θάνατον τοῦ Ἰωάννου, ὅταν ἦν ὁ Χριστὸς 33 ἐτῶν, βραχύ τι πρὸ τοῦ Πάθους» (α). Ποῦ ἐνταῦθα ὁ Καισαρείας Εὐσέβιος; ποῦ αἱ 40 ἡμέραι πρὸ τοῦ Πάθους; Ὁ Κορέσσιος ὁμολογεῖ μετὰ τοῦ Ἀμμωνίου, ὅτι ἡ Μεταμόρφωσις ἐγένετο μετὰ τὸν θάνατον τοῦ Βαπτιστοῦ, ἤτοι ἐν τῷ χρονικῷ διαστήματι τῷ ἀπὸ τοῦ θανάτου τοῦ Προδρόμου ἕως τοῦ σωτηρίου Πάθους. Τοῦτο εἶναι σύμφωνον τῇ ἀληθείᾳ· τοῦτο μαρτυροῦσιν οἱ Εὐαγγελισταί· τοῦτο ἀνομολογοῦμεν καὶ ἡμεῖς. Καὶ διὰ τοῦτο ἀπὸ τοῦ θανάτου τοῦ Ἰωάννου θέλομεν ἀρχήσει τὴν ἁρμονίαν τῶν Εὐαγγελιστῶν, ὅταν φθάσωμεν εἰς τὴν δεῖξιν τῆς ἀληθοῦς ἐποχῆς τῆς Μεταμορφώσεως. Ἀφ' οὗ λοιπὸν οἱ δύο ὑπὸ τοῦ Νικοδήμου ὀνομαστὶ παρουσιασθέντες ἐκκλησιαστικοὶ συγγραφεῖς ἀπεδείχθη, ὅτι οὐδὲν τοιοῦτον λέγουσι, ποῦ πλέον μένουσιν οἱ ἄλλοι οἱ ὑπ' αὐτοῦ ἀκατονόμαστοι καταλειφθέντες περισσότεροι Διδάσκαλοι τῆς Ἐκκλησίας; Δίκαιον εἶχε λοιπὸν ὁ Οἰκονόμος λέγων, ὅτι ἡ γνώμη αὕτη προῆλθεν ἐξ ἀδεσπότων πηγῶν (β).

Ἀφ' οὗ δὲ ὁ Νικόδημος ἔθεσεν οὕτω τὴν ψευδομάρτυρα πρόταιν του, ἄρχεται τῆς κατασκευῆς αὐτῆς οὕτω.

* Βεβαιοῦται ἀπὸ τὰ ἀκόλουθα, Α'. Διότι ὁ Εὐαγγελιστὴς Ματθαῖος, ὁ αὐτόπτης καὶ αὐτήκοος μαθητὴς καὶ ἀπόστολος τοῦ Κυρίου, λέγει, ὅτι ὁ Κύριος πρὸ τοῦ ἀκόμη νὰ μεταμορφωθῇ, ἔλεγε πρὸς τοὺς μαθητάς του ταῦτα «Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ, ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν κτλ.

Εἰς ταῦτα ἀπορῶ, τί πρῶτον νὰ ἐλεεινολογήσω; Τὴν παράτολμον, ἵνα μὴ εἴπω τι χεῖρον, διάκρισιν, ἣν θέλει νὰ ἐπιφέρῃ μεταξὺ τῶν θεοπνεύστων Εὐαγγελιστῶν, θεωρῶν τὸν ἕνα αὐθεντικώτερον τοῦ ἄλλου· διότι οὐχ ἁπλῶς ἐπεσώρευσεν εἰς τὸν Ματθαῖον τοσαῦτα ἐπίθετα, ἢ ἵνα ὑπερυψώσῃ αὐτὸν τοῦ Λουκᾶ, ὃν ἀκολούθως θέλει ν' ἀποδείξῃ παριστορῶντα; Τὴν ἀνόητον συμπλοκὴν τῶν θείων ῥητῶν μετὰ τῶν λόγων αὐτοῦ, συνάπτοντος τὰ ἱστορικὰ ῥήματα τοῦ Εὐαγγελιστοῦ ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ, ὡς ῥήματα τοῦ Σωτῆρος, ἐν ᾧ ἄριστα μετὰ τὴν λέξιν ταῦτα ἔπρεπε νὰ ἐπιφέρῃ ὡς τοῦ Σωτῆρος ῥήματα, ὅτι δεῖ ἀπελθεῖν κτλ. χωρὶς νὰ παρεμβάλῃ τὰ ἱστορικὰ τοῦ Εὐαγγελιστοῦ; Ἡ τὴν παντελῆ ἀκαταληψίαν τῶν φράσεων τοῦ Εὐαγγελιστοῦ, ἧς ἕνεκα παρήγαγεν εἰς ὑποστήριξιν αὐτοῦ τὸ χωρίον, ὅπερ στρέφεται καθ' ἑαυτοῦ; Ἡ φράσις ἀπὸ τότε λέγεται ἐπὶ ἐποχῆς γνωστῆς καὶ ἱκανῶς ἀπομεμακρυσμένης ἀπό τινος ἐκβάσεως. Οὕτω λέγομεν καὶ ἡμεῖς· ἀπὸ τότε σοὶ τὸ ἔλεγον καὶ σὺ δὲν ἐπίστευες, δηλοῦντες διὰ τῶν λόγων τούτων, ὅτι ἀπό τινος ἐποχῆς γνωστῆς καὶ ἱκανῶς ἀπομεμακρυσμένης ἐλέγομέν τι ὅπερ οὐδαμῶς ἐπίστευεν ὁ πρὸς ὃν ἐλέγετο, ἕως οὗ εἶδεν αὐτὸ γενόμενον. Ὅτι δὲ τοιαύτη εἶναι ἡ ἔννοια τοῦ ἀπὸ τότε δηλοῦται καὶ ἀπὸ τοῦ συνημμένου ῥήματος ἤρξατο, ὅπερ δηλοῖ, ὅτι ἀπὸ τότε ἔκαμεν ἀρχὴν ὁ Ἰησοῦς νὰ ὑποδεικνύῃ τὰ περὶ τοῦ Πάθους, παρῆλθε δὲ ἱκανὸν χρονικὸν διάστημα μέχρις αὐτοῦ, καθ' ὃ πολλάκις ἐπανέλαβε τὰ περὶ τούτου, ὡς ἐξ αὐτοῦ πάλιν τοῦ Ματθαίου ἐμφαίνεται. Διότι κατ' αὐτὸν τετράκις εἶπεν ὁ Κύριος τοὺς λόγους τούτους ἀ, ἐν τοῖς μέρεσι τῆς Καισαρείας, ὅτε καὶ ἤρξατο λέγειν τούτους (ις'. 21) β', ὅτε κατέβαινεν ἐκ τοῦ ὄρους τῆς Μεταμορφώσεως (ιζ', 12) γ', ἀναστρεφομένων αὐτῶν ἐν τῇ Γαλιλαίᾳ (ιζ'. 22) δ', ἀναβαίνων εἰς Ἱεροσόλυμα (κ', 17). Πιθανὸν δὲ καὶ ἄλλοτε πολλάκις, ἵνα προπαρασκευασθῶσι δεόντως οἱ μαθηταί· διότι, καθ' ἃ ἐσημείωσεν ὁ Λουκᾶς (ιθ', 34), καὶ ἐν τῇ τετάρτῃ περιστάσει οὐκ ἠδυνήθησαν ἐννοῆσαι τὸν λόγον. «Καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα. Ἀπῃτεῖτο λοιπὸν εἰσέτι καιρός, ἵνα ἀναπτύξῃ τὸν νοῦν αὐτῶν εἰς τὸ νὰ κατανοήσωσι τὰ περὶ τούτου. Καὶ παρῆλθε τῷ ὄντι ὁ τοιοῦτος καιρός, καθ' ἃ ἱστορεῖ ὁ—ἵνα πράξωμεν καὶ ἡμεῖς κατὰ τὸν Νικόδημον, διὰ τῆς σωρείας τῶν ἐπιθέτων ὡς παρασήμων τινῶν καταδεικνύοντες τὴν ἀξίαν τοῦ ἱστοροῦντος—αὐτόπτης καὶ αὐτήκοος, μαθητὴς καὶ ἀπόστολος, ἐπιστήθιος, φίλος, ἠγαπημένος, Εὐαγγελιστὴς Ἰωάννης ὁ Θεολόγος, καθὼς ἀκολούθως δείξομεν· ἕως οὗ ἀρξαμένης τῆς ὑπὸ τῶν Ἰουδαίων καταδρομῆς, καὶ τοῦ Ἰησοῦ φυγόντος καὶ διαμένοντος ἐν τοῖς πέραν τοῦ Ἰορδάνου, ἤρξαντο ἐννοεῖν οἱ μαθηταί· καὶ θέλοντος τοῦ Ἰησοῦ, ἵνα ἔλθῃ εἰς τὴν Ἰουδαίαν, εἶπεν ὁ Θωμᾶς τοῖς συμμαθηταῖς· Ἄγωμεν καὶ ἡμεῖς

(α) Ἐν 330 σελ. τοῦ χειρογράφου τούτου.

(β) Τοῦτο ἀπεφάνθη ὁ κλεινὸς Οἰκονόμος μὴ ἀναδιφήσας τὸν Κορέσσιον· διότι, εἰ ἔπραττε τοῦτο, δὲν ἀπεφαίνετο ἐν τῇ ὑπὸ τὰ ῥήματα ταῦτα σημειώσει, ὅτι ὁ Κορέσσιος τάττει τὴν Μεταμόρφωσιν 40 ἡμέρας πρὸ τοῦ Πάθους, πλανηθεὶς εἰς τοῦτο ὑπὸ τοῦ Νικοδήμου.

Digitized by Google

ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ (α). Ὅτι λοιπὸν ἱκανὸς καιρὸς παρῆλθεν ἀφ' ὅτου ὁ Ἰησοῦς ἤρξατο προλέγειν τὰ περὶ τοῦ Πάθους ἕως εἰς αὐτὸ τὸ Πάθος, δείκνυσι μὲν ἡ ἁρμονία τῶν Εὐαγγελιστῶν, δείκνυσι δὲ καὶ αὐτὸ τοῦτο τὸ παρατεθὲν τοῦ Ματθαίου χωρίον ἀπὸ τότε ἤρξατο, ἐν ᾧ ἐποχὴ μὲν γνωστὴ τῆς ἀρχῆς ἦτο ἡ παρὰ τὰ μέρη τῆς Καισαρείας ὁμολογία τῶν μαθητῶν περὶ αὐτοῦ ὡς υἱοῦ τοῦ Θεοῦ, τέλος δὲ τὸ πάθος, ἱκανὸν δὲ τὸ μεταξὺ διελθὸν χρονικὸν διάστημα. Ὅτι δὲ ἐπὶ τοιαύτης χρήσεως τίθεται ἡ φράσις αὕτη παρὰ τῷ Ματθαίῳ, δείκνυται καὶ ἐξ ἄλλου χωρίου αὐτοῦ (ὁ'. 17) «Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν, Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.» Ἐν ᾧ ἐποχὴ μέν, ἀφ' ἧς ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν τὸ Εὐαγγελικὸν κήρυγμα, ἦτο ἡ φυλάκισις τοῦ Ἰωάννου καὶ ἡ ἀπὸ Ναζαρὲτ εἰς Καπερναοὺμ μετοίκησις, τέλος δὲ αὐτὸ τὸ Πάθος· διότι τότε ἔληξε κηρύσσων τὸ Εὐαγγέλιον. Ἂν λοιπὸν ἡ φράσις ἀπὸ τότε ἤρξατο ἐν τῇ περιστάσει ταύτῃ σημαίνῃ ἀρχήν, ἧς τὸ τέλος ἐπῆλθε μετὰ δύο ἔτη· ἡ αὐτὴ φράσις ἐν τῇ περὶ τοῦ Πάθους προρρήσει δὲν ἐμφαίνει ἀρχήν, ἧς τὸ τέλος ἐπῆλθε μετὰ ἑπτάμηνον τοὐλάχιστον διάστημα; τοῦτο ἀπαιτεῖ καὶ τὸ πνεῦμα τῆς γλώσσης, καὶ ἡ χρῆσις τοῦ ἰδίου Εὐαγγελιστοῦ· τοῦτο ἱστορικῶς ἐμφαίνεται καὶ ἐξ αὐτοῦ τοῦ Ματθαίου, ὡς θέλομεν ἴδει ἀμέσως. Οὐδαμῶς λοιπὸν ἐκ τοῦ χωρίου τούτου συνάγεται τὸ συμπέρασμα τοῦ Νικοδήμου, ἀλλὰ τὸ ἀντίθετον· ὥστε ἀντὶ κατασκευῆς εὑρέθη ἀντιστρατευομένη αὐτῷ ἡ Α' ἀπόδειξις. Ἴδωμεν τὴν Β.

«Β'. Διότι κατὰ τὴν σειρὰν καὶ τάξιν τῶν κεφαλαίων τοῦ Εὐαγγελιστοῦ Ματθαίου ἐγγὺς τοῦ Πάθους ἔγεινεν ἡ Μεταμόρφωσις· ἐπειδὴ διηγούμενος τὴν Μεταμόρφωσιν ἐν κεφ. ιζ'. μετὰ τρία μόνα κεφ. εὐθὺς ἀναφέρει τὰ Βαΐα ἐν κεφ. κα'.»

Λίαν παράδοξος, γελοία καὶ ἄτοπος εἶναι καὶ ἡ ἀπόδειξις αὕτη·

Α'. Διότι ὁ Νικόδημος τὰ κεφάλαια εἰς ἃ δι' εὔκολον χρῆσιν καὶ ζήτησιν διηρέθησαν τὰ Εὐαγγέλια, ὡς καὶ ἄλλα βιβλία, ἐξέλαβεν ὡς χρονικά τινα μέτρα, δι' ὧν νὰ προσδιορίζῃ τὴν ἔκτασιν ἢ συστολὴν τοῦ χρόνου. Καὶ διὰ τοῦτο ἀπεφάνθη, ὅτι ἐπειδὴ ἀπὸ τῆς Μεταμορφώσεως ἕως τῶν Βαΐων παρεμπίπτουν τρία μόνα κεφάλαια, ἄρα διὰ τοῦτο ἐγγὺς τοῦ Πάθους ἔγεινεν ἡ Μεταμόρφωσις! Δὲν ἐσυλλογίσθη δὲ, ὅτι ἡ πληθὺς ἢ ἡ ὀλιγότης τῶν κεφαλαίων οὐδὲν συντελεῖ εἰς τὴν ἔκτασιν ἢ τὴν βραχύτητα τοῦ χρόνου. Οὕτως ὁ Ἰωάννης ἐν τῷ κατ' αὐτὸν Εὐαγγελίῳ, τῷ διηρημένῳ εἰς κα' κεφάλαια, ὅλα ἓξ κεφ. ἀπὸ τοῦ ιγ'—ιθ' δαπανᾷ εἰς ἐξιστόρησιν μιᾶς μόνης ἑσπέρας τῆς Μ. Πέμπτης. Ὁ δὲ Λουκᾶς (δ', 52) ἀπεναντίας δι' ἑνὸς μόνου ἐδαφίου «Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις» περιλαμβάνει ἱστορίαν ὁλοκλήρων δέκα ὀκτὼ ἐτῶν. Καὶ αὐτὸς δὲ οὗτος ὁ Ματθαῖος μεταξὺ τοῦ β' καὶ γ' κεφ. χωρὶς κἂν νὰ σημειώσῃ λέξιν τινὰ ὑπερεπήδησεν ὁλόκληρα εἴκοσιπέντε ἔτη, ὡς παρετήρησε καὶ ὁ Ἡσύχιος (α). Διότι διηγηθεὶς τὴν ἀπὸ τῆς Αἰγύπτου ἐπάνοδον τοῦ Κυρίου, ὅτε μόλις ἦτο τετραέτης (β), ἐπήδησεν ἀμέσως εἰς τὸ κήρυγμα τοῦ Ἰωάννου τὸ ἀρξάμενον μετὰ 25 ὅλα ἔτη. Ἐξ ὧν φαίνεται ὅτι οὐχὶ ἡ ποσότης τῶν κεφαλαίων, ἀλλὰ τὸ ἐν αὐτοῖς περιεχόμενον συντελεῖ εἰς τὴν ἀπαρίθμησιν τοῦ χρόνου. Ἐὰν δὲ μελετήσωμεν τὸ ἐν τοῖς τρισὶ τούτοις κεφ. περιεχόμενον, βλέπομεν ἱκανὸν χρονικὸν διάστημα. Διότι μετὰ τὴν Μεταμόρφωσιν ἐμφαίνεται ἱκανὴ περιοδεία ἐν τῇ Γαλιλαίᾳ «ἀναστρεφομένων αὐτῶν ἐν τῇ Γαλιλαίᾳ (ιζ' 22). Ὅτι δ' ἱκανοῦ χρόνου ἦτο ἡ τοιαύτη ἀναστροφὴ δείκνυσι μὲν καὶ ἡ Εὐαγγελικὴ ἱστορία, δείκνυσι δὲ καὶ ὁ Χρυσόστομος, ὅστις ἐν τῇ τοῦ χωρίου ἑρμηνείᾳ (γ) περὶ τῶν ἀποστόλων λέγων «ἵνα μὴ λέγωσι τίνος ἕνεκεν ἐνταῦθα διατρίβομεν διηνεκῶς.» Διηνεκὴ λοιπὸν ἦτοι διαρκῆ χαρακτηρίζει τὴν διατριβὴν ταύτην καὶ ὁ Χρυσοῦς τῆς Ἐκκλησίας Πατήρ. Ἔπειτα μεταβαίνει ὁ Κύριος εἰς Καπερναοὺμ, ὅπου καὶ τὰ δίδραχμα πληρόνει καὶ ἱκανὰς νουθεσίας ἀπευθύνει τοῖς μαθηταῖς· κατόπιν ἔρχεται εἰς τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου (ιθ'. 1) ὅπερ ἑρμηνεύων ὁ Ὠριγένης (δ) λέγει «ἦλθεν ἐπὶ τὰ ὅρια

(α) Ἰωάν. ιά, 16.

(α) Ἐν ΝΘ'. Λύσει τῆς Συναγωγῆς ἀπορίων καὶ λύσεων (Ἐκδεδομένης ἐν τῇ τοῦ Migne Πατρολογίας Τόμ. γγ' σελ. 1391). «Ἔθος τοῖς ἱεροῖς συγγραφεῦσι συντο» μίας ἐπιμελουμένοις ἱστορίαν ἱστορίαις συνάπτειν. Καθ' ἃ » καὶ Ματθαίῳ ἀναγέγραπται, μήπω σχεδὸν περαιώσαντι τὴν » ἐξ Αἰγύπτου ὑποστροφὴν τοῦ Κυρίου, καὶ τὴν ἐν Γαλιλαίᾳ, » καὶ Ἰωάννου εἰς τὸν Ἰορδάνην ἔλευσιν, καὶ τὸ τούτου κή» ρυγμα μετὰ τριάκοντα ἔτη σχεδὸν γεγονός.»

(β) Εὐγενίου Ἑκατονταετηρ. § 22 Σημ.

(γ) ΝΗ' Ὁμιλ. εἰς Ματθ. § α'.

(δ) Εἰς Ματθ. Τόμ. ΙΔ' κεφ. 15.

Digitized by Google

τῆς Ἰουδαίας, καὶ οὐχ ἐπὶ τὰ μέσα, ἀλλ' οἱονεὶ τὰ ἄκρα· ὁπόθεν φαίνεται ὅτι κἀκεῖσε διέτριψεν ἱκανὸν, ἕως οὗ φθάσῃ εἰς Ἱεροσόλυμα, τὸ κέντρον τῆς Ἰουδαίας. Φαίνεται λοιπὸν καὶ ἐκ τῶν τριῶν κεφ. τούτων, ὅτι ἱκανὸν διάστημα παρῆλθεν ἀπὸ τῆς Μεταμορφώσεως ἕως τοῦ Πάθους, ἐκτὸς ἄλλου ὑπερδιμήνου διαστήματος, ὅπερ ὁλοτελῶς παραλείπει ὁ Ματθαῖος, ὅπως δείξομεν ἐν τῷ Β' Μέρει.

Β'. Διότι, ἐὰν δὲν ἠδύνατο νὰ πορισθῇ τὸν ἀπὸ τῆς Μεταμορφώσεως ἕως τοῦ Πάθους ἀληθῆ χρόνον ἐκ τοῦ Ματθαίου, ὅστις συντομίᾳ χρώμενος δὲν ἐμφαίνει αὐτὸν οὕτω σαφῶς, ἔπρεπε ν' ἀνατρέξῃ εἰς τοὺς ἄλλους Εὐαγγελιστὰς, τοὺς σαφέστερον καὶ πλατύτερον ἐκτεθειμένους τοῦτον. Καὶ ὄχι λογιζόμενος αὐτοὺς ὡς ἐναντιουμένους ἀλλήλοις ν' ἀποβάλῃ αὐτοὺς, προσκείμενος, ὡς οἱ ἀρχαῖοι Ἐβιωναῖοι, εἰς μόνον τὸν Ματθαῖον, ὅστις, ὡς εἴδομεν ἀνωτέρω, ἀλλαχοῦ παρέλειψεν 25 ὅλα ἔτη. Ἐν ᾧ ἔπρεπε νὰ ἔχῃ ὑπ' ὄψιν τὸν κανόνα τοῦτον, ὅτι οὐδεμία ἐναντιότης ὑπάρχει εἰς τοὺς Εὐαγγελιστὰς, ἀλλὰ τελεία μάλιστα συμφωνία, ἀναπληροῦντος τοῦ ἑνὸς ὅ,τι ἐσιώπησεν ὁ ἄλλος καὶ σιωπῶντος ὅ,τι ἱστόρησεν ἐκεῖνος. Τοῦτον τὸν κανόνα ἔχει ἡ Ἐκκλησία, ἀνακηρύττουσα, ὅτι Οὐδὲν ἀσυμφώνως τοῖς Εὐαγγελισταῖς εἴρηται, ἀλλὰ τὰ παρ' ἀλλήλων ἐλλειφθέντα ἕκαστος ἱστόρησε, Πνεύματι ἁγίῳ κινούμενος ἵνα ἀναγκαία εἴη τῶν τεσσάρων ἡ ἀνάγνωσις (α), καὶ συμφώνως τούτῳ πορισζομένη τὸν ἀληθῆ χρόνον ἑκάστου Εὐαγγελικοῦ γεγονότος ἐκ τῆς ἁρμονίας τῶν τεσσάρων. Ἀποδειχείσης οὕτω γελοίας καὶ ἀτόπου καὶ τῆς δ' ἀποδείξεως, ἰδωμεν τὴν γ'.

«Γ'. Διότι καὶ ὁ περιώνυμος διδάσκαλος Ἰωσὴφ ὁ Βρυέννιος ἐν τῷ ἔκρι λέγει ὅτι ἔγεινεν ἡ Μεταμόρφωσις.»

Δὲν ἔχω πρόχειρον τὸν Βρυέννιον, ἵνα ἴδω ἂν πραγματικῶς λέγῃ τοῦτο. Ἀλλὰ καὶ τούτου δοθέντος, οὐδεμίαν ἀπόδειξιν δύνανται νὰ πορισθῶσιν οἱ βουλόμενοι τάξαι τὴν Μεταμόρφωσιν ἐγγύτατα τοῦ Πάθους. Εἴπομεν ἀνωτέρω ὅτι πλεῖστοι τῶν νεωτέρων διδασκάλων ἐφρόνησαν τοῦτο. Ταττέσθω λοιπὸν καὶ ὁ Βρυέννιος ἐν τούτοις, ὧν ἡ γνώμη δὲν δύναται νὰ κλονήσῃ τὸ κῦρος τῆς Εὐαγγελικῆς ἱστορίας.

Κατασκευάσας δὲ οὕτως ὁ Νικόδημος, ὡς ἐνόμισε, τὴν πρότασιν, ὅτι πρὸ 40 ἡμερῶν ἐγένετο ἡ Μεταμόρφωσις, ἔρχεται ἀκολούθως ἵνα ἐποικοδομήσῃ τὸ γελοῖον, ὡς εἶπεν ὁ Οἰκονόμος, συμπέρασμα, ὅτι μετετέθη δῆθεν αὐτὴ ἀπὸ τὴν Μ. Τεσσαρακοστήν· διότι ἦτο ἀνοίκειον νὰ ἑορτάζηται ἡ λαμπρὰ αὐτὴ ἑορτὴ κατὰ τὴν πένθιμον ταύτην περίοδον. Καὶ διατί ἦτο ἀνοίκειον; Κατὰ τὴν κατηφῆ ταύτην περίοδον πανηγυρίζομεν τὰς ἐπίσης λαμπρὰς ἑορτὰς τῶν Βαΐων καὶ τοῦ Εὐαγγελισμοῦ, καὶ ἦτο ἀνοίκειον νὰ ἑορτάζηται ἡ Μεταμόρφωσις; Ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ ὑπερέχει μάλιστα κατὰ τὴν φαιδρότητα καὶ τὸ χαρμόσυνον τῶν ᾀσμάτων, καὶ ὅμως πανηγυρίζεται ἐν τῷ μέσῳ πολλάκις καὶ τῆς κατηφεστάτης Μεγ. Ἑβδομάδος τῶν Παθῶν, καὶ ἡ Μεταμόρφωσις ἦτο ἀνοίκειον νὰ ἑορτάζηται κατὰ τὴν οὐχὶ τοσοῦτον πένθιμον β' ἑβδομάδα τῶν Νηστειῶν; Ἡ Μεταμόρφωσις ἀπεναντίας τὰ μάλιστα οἰκειοτάτη εἶναι νὰ ἑορτάζηται κατὰ τὴν Μ. Τεσσαρακοστὴν, ἐὰν τῷ ὄντι ἐγένετο 40 ἡμέρας πρὸ τοῦ Πάθους. Α' Διότι αὐτὴ ἐγένετο πρὸς στήριξιν τῶν μαθητῶν, ἵνα, ὅταν ἴδωσιν αὐτὸν σταυρούμενον, τὰ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι αὐτὸς ὑπάρχει τοῦ Πατρὸς τὸ ἀπαύγασμα. Τί ἁρμοδιώτερον πρὸς τοὺς προετοιμαζομένους ἵνα παραστῶσιν εἰς τὸ Πάθος διαδόχους τῶν μαθητῶν, ἵνα μή τις σκανδαλισθῇ βλέπων αὐτὸν ἐν τῷ σταυρῷ, ἢ ἵνα προηγηθῇ ἡ Μεταμόρφωσις, καθ' ἣν ἐφάνη ἡ θεία αὐτοῦ δόξα; Β'. Ἡ Ἐκκλησία, ἵνα ἐγκαρδιώσῃ τοὺς ἀγωνιστὰς τῆς νηστείας οἰκονομικῶς προλαμβάνει καὶ πρὸ τοῦ Πάθους καὶ τῆς πραγματικῆς ὑψώσεως τοῦ Σταυροῦ ἐμφανίζει αὐτὸν κατὰ τὴν τρίτην Κυριακὴν τῶν Νηστειῶν· καὶ ἤθελεν αὐτὴ μετατοπίσει ἀπὸ τῆς Τεσσαρακοστῆς τὴν κατ' αὐτὴν γενομένην, εἰ ἐγίνετο, Μεταμόρφωσιν, ἥτις ἐκτὸς τῆς στηρίξεως, ἵνα μή τις σκανδαλισθῇ διὰ τὸ πάθος, ἔχει καὶ τὰ δύο ταῦτα προσόντα: 1ον φέρει τὴν πρόρρησιν τοῦ Πάθους· καθότι οἱ φανέντες ἐν δόξῃ δύο προφῆται «προέλεγον τὴν ἔξοδον, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ· 2ον· παρέχει ἐγκαρδίωσιν πρὸς νηστείαν καὶ προσευχὴν αὐτή τε ἡ ἀνάβασις εἰς τὸ ὑψηλὸν ὄρος· διότι εἰς τὰ ὄρη συνήθως ἀπεχώρει ὁ Σωτὴρ, ὅτε ἐνήστευε καὶ προσηύχετο· καὶ ἡ ἐμφάνισις τῶν δύο ἐξάρχων τῆς Παλαιᾶς Διαθήκης, οἵτινες ἀναβάντες εἰς τὰ ὄρη καὶ νηστεύσαντες 40 ἡμέρας, ὁ μὲν εἶδε τὸν Θεὸν καὶ ἔλαβε τὸν Νόμον, ὁ δὲ τὴν παρουσίαν τοῦ Θεοῦ ἐν λεπτῇ αὔρᾳ. Τί οἰκειότερα παραδείγματα

(α) Ἡσύχιος ἐν Λύσει ΛΒ'.

Digitized by Google

ἐγκαρδιώσεως καὶ στηρίξεως πρὸς τοὺς νηστεύοντας καὶ προσευχομένους ἐπὶ 40 ἡμέρας, ἵνα παραστῶσιν εἰς τὸ Πάθος καὶ ὑποδεχθῶσι τὸν ζῶντα Λόγον ἐκ τάφου, ὡς νυμφίον ἐκ παστάδος, προερχόμενον; Γ'. Ἡ ἐν τῇ Μεταμορφώσει παραδειχθεῖσα δόξα τῆς μελλούσης μακαριότητος πόσον ἤθελεν ἐνθαρρύνει τοὺς ἀπαρνουμένους ἑαυτοὺς καὶ τὸν σταυρὸν τοῦ Κυρίου αἴροντας, καὶ ἐν προσευχαῖς καὶ νηστείαις ἀκολουθοῦντας αὐτὸν εὐσεβεῖς; Καὶ ἔπειτα ἀπὸ ταῦτα θέλουσι τολμήσει νὰ λέγωσιν οἱ περὶ τὸν Νικόδημον, ὅτι ἡ Μεταμόρφωσις εἶναι ἀνοίκειον νὰ ἑορτάζηται κατὰ τὴν Μ. Τεσσαρακοστήν, ἐὰν τῷ ὄντι ἐγίνετο κατ' αὐτήν;

Ἴδωμεν δὲ τὰ περαιτέρω.

«Ἐπειδὴ ἡ Μεταμόρφωσις ἔγεινε πρὸ 40 ἡμερῶν τοῦ Πάθους καὶ τοῦ Σταυροῦ, ἡ δὲ ὕψωσις τοῦ Σταυροῦ ἑορτάζεται κατὰ τὴν ιδ' τοῦ Σεπτεμβρίου καὶ ἐπέχει τὰ δίκαια τοῦ Σταυροῦ καὶ τοῦ Πάθους τοῦ Κυρίου, διὰ τοῦτο οἱ θεῖοι Πατέρες ὁρίσαν νὰ ἑορτάζηται τὴν ς' Αὐγούστου, διότι ἀπὸ τῆς ς' Αὐγούστου ἕως τῆς ιδ' Σεπτεμβρίου 40 ἡμέραι συμποσοῦνται.»

Τίς ὁ μαρτυρῶν περὶ τῆς τοιαύτης μεταθέσεως; Ἀλλὰ μάταιος ἐγὼ ὁ ζητῶν μαρτυρίαν περὶ ἀνυπάρκτου καὶ καθαροῦ πλάσματος τῆς φαντασίας. Ἀνωτέρω εἶπεν, ὅτι ἀνοίκειον ἦτο ἡ λαμπρὰ αὕτη ἑορτὴ νὰ πανηγυρίζηται ἐν τῇ κατηφεῖ περιόδῳ τῆς Μεγ. Τεσσαρακοστῆς καὶ διὰ τοῦτο μετετέθη. Ποῖον ὅμως τὸ κέρδος τῆς μεταθέσεως ταύτης; ποίαν δὲ λαμπρότητα προσεκτήσατο; Ἀπὸ νηστείας μετετέθη εἰς νηστείαν, ἀπὸ τεσσαρακοστῆς εἰς τεσσαρακοστήν. Ἀλλὰ τὴν μετάθεσιν ταύτην, λέγουσι, βεβαιοῦσιν αἱ τεσσαράκοντα ἡμέραι, αἱ παρεμπίπτουσαι μεταξὺ αὐτῆς καὶ τῆς ὑψώσεως τοῦ Σταυροῦ. Ἀλλὰ δὲν μᾶς λέγουσιν οἱ καλοὶ οὗτοι ἑορτολόγοι, διατί μεταξὺ τῆς Μεταμορφώσεως καὶ τῆς Κοιμήσεως τῆς Θεοτόκου παρεμπίπτουσιν ἐννέα ἡμέραι; Διατί μεταξὺ τῆς αὐτῆς καὶ τῆς ἀποτομῆς τοῦ Βαπτιστοῦ 24; Διατί μεταξὺ τῆς αὐτῆς καὶ τοῦ Γενεσίου τῆς Θεοτόκου 34;—Οὐδεὶς λόγος, πάντως θέλουσιν ἀπαντήσει, ὑπάρχει. Τοῦτο εἶναι ἁπλῆ σύμπτωσις. Διατί λοιπὸν σύμπτωσιν δὲν θεωροῦσι καὶ τὰς μεταξὺ τῆς Μεταμορφώσεως καὶ τῆς τοῦ Σταυροῦ ὑψώσεως 40 ἡμέρας; Ἢ δὲν μᾶς λέγουσι, ποία τῶν δύο τούτων ἑορτῶν ἐτάχθη πρότερον πανηγυρίζεσθαι, ἡ ἀμφότεραι ταυτοχρόνως; Καὶ ἡ μὲν Μεταμόρφωσις ἑωρτάζετο, εἰ καὶ μὴ πρότερον, πάντως ὅμως ἀπὸ τῆς ἀρχῆς τοῦ Ε' αἰῶνος· διότι εὑρίσκομεν τοὺς εἰς αὐτὴν λόγους τοῦ Πρόκλου καὶ τοῦ Σελευκείας Βασιλείου. Ἡ δὲ τῆς ὑψώσεως τοῦ Σταυροῦ πότε; Ὁ μὲν ἡμέτερος Συναξαριστὴς τάττει αὐτὴν ἐπὶ τοῦ Μ. Κωνσταντίνου κατὰ τὴν εὕρεσιν τοῦ Σταυροῦ, καίτοι αὐτὸς ἀντιφάσκει εἰς ἑαυτόν, τῆς μὲν ὑψώσεως, ἣν τάττει τῇ ιδ' Σεπτεμβρίου, αἰτίαν θεωρῶν τὴν μεγίστην ἐπιθυμίαν καὶ εὐλάβειαν τῶν ἀπειραρίθμων πιστῶν τῶν μὴ δυναμένων ἰδεῖν καὶ ἀσπάσασθαι αὐτόν, καὶ διὰ τοῦτο λέγων τὸν Ἱεροσολύμων Μακάριον δεῖξαι αὐτὸν ἀπὸ τοῦ ἄμβωνος, καὶ ὅτι τοῦτο εἶναι ἡ ὕψωσις τοῦ Σταυροῦ· τὴν δὲ εὕρεσιν αὐτοῦ τάττων τῇ ς' Μαρτίου. Πῶς ἦτο δυνατὸν μεταξὺ τοῦ τοσούτου χρονικοῦ διαστήματος νὰ μὴ δυνηθῶσι κἂν νὰ ἴδωσι τὸ ζωηφόρον ξύλον; Ἄλλοι δὲ ἐπίσημοι ἱστορικοὶ (α), οἷς συμφωνεῖ καὶ τὸ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας Ἡμερολόγιον (β), τάττουσιν αὐτὴν ἐπὶ Ἡρακλείου. Ἐὰν λοιπὸν ἡ δευτέρα τῶν γνωμῶν ἔχηται ἀληθείας, καὶ ἡ Μεταμόρφωσις ἐπανηγυρίζετο πρὶν ἢ ταχθῇ ἡ πανήγυρις τῆς τοῦ Σταυροῦ ὑψώσεως, πότε ἑωρτάζετο ἡ Μεταμόρφωσις; Τῇ τεσσαρακοστῇ, ἢ τῇ ς' Αὐγούστου; Ἂν ἐν τῇ Μεγ. Τεσσαρακοστῇ ἦτο λοιπὸν οἰκεία καὶ δὲν ἦτο ἀνάγκη ἔπειτα νὰ μετατεθῇ. Ἂν κατὰ τὴν ς' Αὐγούστου· προϋπῆρχε λοιπὸν ἑορταζομένη κατὰ τὴν ἡμέραν ἐκείνην πρὶν ἢ ὑπάρξῃ ἡ τῆς ὑψώσεως ἑορτὴ ὥστε οὐδεμίαν πρὸς αὐτὴν ἔχει σχέσιν. Καὶ ἡ ἁπλῆ σύμπτωσις τῶν 40 ἡμερῶν ἐγέννησε τὸ ἐπινόημα τοῦτο.

Ἀλλὰ διὰ τοῦτο, προσθέτει, ἐν τῇ ἑορτῇ τῆς Μεταμορφώσεως ψάλλονται καὶ αἱ Καταβασίαι τοῦ Σταυροῦ. Οὐχί, ἀγαπητέ, διὰ τοῦτο, ἀλλὰ διὰ ἄλλον λόγον. Ἐὰν διὰ τοῦτο ἐψάλλοντο κατὰ τὴν ἑορτὴν τῆς Μεταμορφώσεως αἱ Καταβασίαι τοῦ Σταυροῦ, καὶ ἀπὸ τότε ἤρχιζον τὰ μεγάλα προεόρτια τῆς ὑψώσεως τοῦ Σταυροῦ, ὅπως τὰ τῶν Χριστουγέννων ἀπὸ τῆς ἑορτῆς τῶν Εἰσοδίων, ἔπρεπεν, ὡς ἐκεῖ, νὰ μὴ διακόπτωνται αἱ ἀπὸ τῆς Μεταμορφώσεως ἀρξάμεναι Καταβασίαι τῆς ὑψώσεως τοῦ Σταυροῦ κατὰ τὴν παρεμπίπτουσαν ἑορτὴν τῆς Κοιμήσεως τῆς Θεοτόκου, καθ' ἣν Καταβασίαι ψάλλονται οἱ εἱρμοὶ αὐτῆς καὶ οὐχὶ τῆς ὑψώσεως, καθόσον ἡ ἑορτὴ τῆς Θεοτόκου οὔτε μεγαλητέρα οὔτε ἐν-

(α) Βλ. τὴν Περὶ τῶν δύο πολιτικῶν ἀκολουθιῶν τῆς Ἐκκλησίας ἡμῶν διατριβὴν Κ. Παπαρρηγοπούλου, ἐν Παν. τόμῳ ΙΖ'. σελ. 457.

(β) Sacrum Martyrologium Romanum. Septemb. 14 «Exaltatio S. Crucis, quando Heraclius Imperator, Cosrhoe rege, eam de Perside Hierosolymam reportavit.»

Digitized by Google

